# NATHANAELIS BERTI MONACHI SERMONES QUATTUORDECIM

edidit

Bjarne Schartau

The present edition of fourteen short homilies of Nathanael Bertos (XVth century) [1] has no claim on perfection. It is meant first and foremost to serve a practical purpose: these small texts can be employed in university teaching. However, the editor hopes that also other readers will find the edition of some use.

---

1 On Neilos/Nathanael Bertos and his works see H. G. Beck, Kirche und theologische Literatur im byzantinischen Reich, Munich 1959, p. 785 with references and same author's Geschichte der byzantinischen Volksliteratur, Munich 1971, p. 189. Cf. also B. Schartau, Om munken Neilos/Nathanael Bertos, en senbyzantinsk moralprædikant *in* Museum Tusculanum 21-22, Copenhagen 1973, pp. 67-92, with a brief summary in English. Sermones I & VIII were printed as an appendix to that article.
In the most interesting work that has come down to us under the name of Bertos viz. the some 1700 fifteen-syllabic (decapentasyllabic) verses found in *Vienna, O.N.B. Hist. gr. 91* there are clear indications that the verses were composed in the island of Rhodes *after* the fall of Constantinople. Cf. of the present collection of short homilies notably Sermo XI, 76-80 οὐκ οἴδατε θανατικὰ καὶ τοὺς λοιμοὺς καὶ τὴν ἅλωσιν τῆς ἁγίας Πόλεως; πῶς ἡμᾶς ἐγκατέλιπεν ὁ Θεὸς ... καὶ ἔδωκεν τὴν ἐκκλησίαν ἡμῶν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν τῶν Μουσουλμάνων; *and* Sermo XIV, 40-43 οὐκ ἐγέρθη ὁ ἄθεος βασιλεὺς τῶν Ἰσμαηλιτῶν κατὰ τῆς ἁγίας βασιλείας τῶν Χριστιανῶν παραχωρήσει Θεοῦ, καὶ ἀνάλωσεν αὐτὴν καὶ κατὰ κράτος τὴν Πόλιν ἡμῶν ἔλαβεν; 74-76 πλὴν τοῦ ἀθεωτάτου Ἀγαρηνοῦ ταλασουμανίζοντος, οἴμοι, ἐν τῷ ἁγίῳ ἐκείνῳ ναῷ τῆς ποτὲ Ἁγίας Σοφίας Θεοῦ. etc.

The manuscripts.

Nathanael Bertos's short homilies are found in the following MSS (the sigla were coined by the present editor):

A Alexandria, Patriarchal Library, cod. gr. 74 (*olim* Cairo 183). Description in Πατριαρχεῖον 'Αλεξανδρείας, Κατάλογοι τῆς Πατριαρχικῆς Βιβλιοθήκης, τόμος Α'. Χειρόγραφα. 'Αλεξάνδρεια 1945 (Second edition 1965 University of Utah Press), p. 60. The date offered ΙΕ' Αἰών is insufficient. The MS was written after 1453. (cf. note 1 and in particular Sermo XIV). According to the description A exhibits Sermones I-XII (i.e. including Sermo IX περὶ τῆς ἁγίας Κυριακῆς also found in Mc, but missing in Mb and V). Reproductions from A have been inaccessible to the present editor.

Ma Venice, Biblioteca Marciana, gr. II, 87 (coll. 1258). Description in E. Mioni, Codices Graeci Manuscripti Bibliothecae Divi Marci Venetiarum. Volumen I, codices in classes a prima usque ad qvintam inclusi, pars prior classis I - classis II, codd. 1-120. (Ministero della Pubblica Instruzione. Indici e Cataloghi, Nuova Serie VI. Rome 1967), p. 259. ff. 262v-263v exhibit the greater part of Sermo I.
Watermarks in Mioni: B 485 (*Padua 1547/Parma 1553)*, B 3417 *(Venzona 1540/Padua 1541)*, B 670 *(Vicenza 1543)*. A reasonable date would thus be ca. 1544/45 A.D. + ÷ 5-10 years.

Mb ibidem, gr. II, 90 (coll. 1259). Description in Mioni, op. cit., pp. 264-65 (273). ff. 1r-23v exhibit Sermones I-XIV exluding Sermo IX περὶ τῆς ἁγίας Κυριακῆς. After the 13 homilies by Bertos follows Pseudo-Chrysotomus περὶ τῆς ἁγίας Κυριακῆς (cf. Bertos's Sermo IX).
Watermarks in Mioni: B 503 *(Treviso 1523)* or 516 *(Vicenza 1539)*, B 11886 *(Naples 1463)*, B 14469 *(Treviso 1528)*. Disregarding B 11886 a reasonable date would be ca. 1530 A.D. + ÷ 5-10 years.

Mc ibidem, gr. IX, 17 (coll. 1247). Description in Bibliothecae Divi Marci Venetiarum Codices Graeci Manuscripti. recensuit Elpidivs Mioni. Volumen III codices in classes nonam decimam vndecimam inclusos et supplementa dvo continens (Instituto Poligrafico dello Stato. Libreria dello Stato 1972), pp. (17)-19. ff. 107r-132v exhibit Sermones I-X i.e. including Sermo IX περὶ τῆς ἁγίας Κυριακῆς (cf. A *supra*).
As stated by Mioni ff. 1-71, 73-100 of this MS were written by (Manuel) Manousus (Gregoropulos) who subscribed it on f. 82r and 100r in the year 1493 A.D. (cf. H. G. Beck, Geschichte der byzantinischen Volksliteratur, Munich 1971, p. 188); ff. 71v-72v, 88r/v 101r-110r were written by Arsenios of Monemvasia (Aristobulus Apostolius) to judge from the script. A third scribe wrote ff. 110-132 apart from f. 121r/v, written by a *fourth scribe* (this was not registered by Mioni).

Watermarks in Mioni: ff. 1-100 B 3404 *(Udine 1503)*, B 2594 *(Venice 1500)*, B 744 *(Treviso 1518)*; ff. 101-132 B 2549 *(Padua 1515)*, B 588/9 *(Innsbruck 1521-22/Udine 1519)*. A reasonable date for the second section of the MS would thus be ca. 1519 + ÷ 5-10 years.

V Vatican, Biblioteca Vaticana, Vat. gr. 659. Description in R. Devreesse, Codices Vaticani Graeci, Tom. III, pp. 93-95. ff. 176-205 exhibit Sermones I-XIV excluding Sermo IX περὶ τῆς ἁγίας Κυριακῆς. After the 13 homilies by Bertos follows Pseudo-Chrysostomus περὶ τῆς ἁγίας Κυριακῆς (cf. Mb *supra*).
As stated by Devreesse, p. 94 the MS was written by Franciscus Syropulus to judge from the script.
Watermarks in Devreesse: B 760 *(Florence 1523/Lucca 1526/8)*, B 3574 *(Manfredonia 1528/Ascolo 1536)*, B 7558 *(Lucca 1564/Rome 1565-66)*, B 5921 *(Venice 1498)*. Disregarding B 5921 a reasonable date would be ca. 1545 + ÷ 5-10 years.
(cf. also P. Canart-V.Peri, *Studi e Testi 261*, Vatican City 1970, p. 462).

## The edition.

The four MSS MaMbMcV have been collated in microfilm.
The apparatus has been limited to a minimum. Obvious orthographic errors have been silently corrected, unless an error found in one MS against another or in two MSS against a third is

considered of some interest.
Otherwise the texts are being offered as found in the MSS.

A peculiar problem is presented by the presence of 'vulgar' forms along with the *koine (Attic)* forms: e.g. γυναῖκα *(nom.)* vers. γυνή, ἄνδρας *(nom.)* vers. ἀνήρ. τις *(indef.)* is found as well as the medieval vulgar form τινάς *(nom. sing.)*
The preposition μέ *(+ acc.)* occurs along with μετά *(+ acc. & gen.)*. 3. person singular of εἰμί is in some cases not ἐστι(ν) but ἔνι/ἔναι/εἶναι. The 'modern' ending -ουν *(present tense)* along with -ουσι(ν) is to be noted. The infinitive is regularly substituted by a ἵνα-clause, but in a few cases the modern form νά is found instead of ἵνα.
In all cases where the MSS (in particular in the last four homilies where MbV are the only representatives) unanimously offer a 'vulgar' form, the editor let this form stand, even though it somewhat disturbs the overall picture of simple, not incompetent (though far from flawless) *koine* imitation offered in these homilies.
Cf. also a case like Sermo I, 41 μεγαλώτερον MaMbV μεῖζον Mc; the scribe of Mc (Arsenios) obviously 'improved on' the original text and the reading μεγαλώτερον should stand.

The punctuation may not quite conform with modern scholarly standards. The editor has chosen a rather 'pedagogical' punctuation.
However, modern signs such as inverted commas, exclamation marks etc. have been avoided.

A full apparatus of testimonia could not be offered. Indeed, should references have been given to all *indirect quotations* or *paraphrases* from the Scriptures, not many sentences would have been left for Bertos himself.
Only direct, and otherwise easily identifiable *loci* from the *LXX* and *NT* have been referred to. References are given in italics below the apparatus criticus.

### The indices.

Two indices are given:

a) an *index nominum* including names of days of the week and adjectives of nationality, but excluding occurrences of the words Θεός, Κύριος, Διάβολος.

b) a selective *index graecitatis* including only words or word-forms (e.g. ἀφήνω for ἀφίημι, βλάβω for βλάπτω) that do not occur in the *NT* and *Liddell-Scott-Jones*.
The very conciseness of this index should be sufficient proof of Bertos strong dependence of the language (and in particular the vocabulary) of the scriptures.

***

### SIGLA

| | |
|---|---|
| Ma | Codex Marcianus gr. II, 87 (coll. 1258) |
| Mb | Codex Marcianus gr. II, 90 (coll. 1259) |
| Mc | Codex Marcianus gr. IX, 17 (coll. 1247) |
| V | Codex Vaticanus gr. 659 |

Sermo I (Devreesse/Mioni l. in dominicam primam ieiuniorum). Ma ff. 262v-263v, Mb ff. 1r-2r, Mc ff. 107r-109r, V ff. 176r-177v

Ποίημα τοῦ εὐλαβοῦς καὶ τιμίου ἱερομονάχου καὶ πατρὸς ἡμῶν κυροῦ Ναθαναὴλ Μπέρτου· Κυριακῇ πρώτῃ τῶν ἁγίων νηστειῶν.

Ἀδελφοί μου καὶ τέκνα· ἀκούσατέ μου, παρακαλῶ, τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ γέροντος μικρὰν διδασκαλίαν καὶ λόγον ὀλίγον· καὶ μὴ βαρυνθῆτε, ἀλλὰ καὶ ἀνοίξατε τὰ ὦτα ὑμῶν εἰς τὸ λεγόμενον. οἴδατε, ὅτι ὅλον τὸν χρόνον εἰς τὰ σωματικὰ σπουδάζομεν καὶ βιαζόμεθα, καὶ οὔτε ἡμέραν οὔτε νύκτα ἀναπαυόμεθα πάσχοντες, κοπιάζοντες, ἵνα μὴ ἔλθωμεν εἰς στενοχωρίαν, πεῖναν, ἢ γυμνητείαν, ἢ ἀνυποδησίαν, ἢ ἄλλην χρείαν τοῦ σώματος. τῆς δὲ ἐλεεινῆς ψυχῆς ἔννοιαν οὐκ ἔχομεν, οὐδὲ μεριμνῶμεν ποτέ, οὐδὲ φροντίζομεν, ἀλλὰ τρώγοντες, πίνοντες, σπαταλῶντες, καὶ τὴν ψυχὴν ἔρημον καὶ ἀδιόρθωτον ἀφήνοντες, ἣν ὁ Κύριος ἰδίῳ ἐξηγόρασεν αἵματι. τὸ λοιπόν, ἀδελφοί μου καὶ τέκνα, ἐπέστη καὶ ἔσωσεν ἡ ἁγία καὶ μεγάλη Τεσσαρακοστὴ ἡ καθαίρουσα τὴν ψυχὴν καὶ ἁγιάζουσα καὶ ἀποπλύνουσα ἀπὸ τὰ πολλὰ ἡμῶν ἁμαρτήματα καὶ ἄμετρα πλημμελήματα, καὶ βαρύτατα φορτία καὶ δυσβάστακτα. καὶ λοιπὸν παρακαλῶ ὑμᾶς, ἠγαπημένα μου τέκνα, ἵνα

---

titulus: ἑρομονάχου Ma τοῦ Μπέρτου Ma Κυριακῇ ... νηστειῶν. om. Ma post νηστειῶν add. δέσποτα εὐλόγησον Mb 1 τέκνα μου Ma 2 τοῦ ταπεινοῦ ... γέροντος om. Ma 3 καὶ λόγον ὀλίγον om. Ma ὀλίγον λόγον Mc 4 καὶ om. MaMbV ἀνίξατε MbV 8 ἔλθομεν MbV

μετανοήσητε ἕκαστος ἀπὸ τῆς κακίας καὶ πονηρίας αὐτοῦ, καὶ ἐπιστρέψητε πρὸς τὸν Θεὸν καὶ ἐξομολογήσησθε τὰς ἁμαρτίας ὑμῶν. οἶδα γὰρ ὅτι ἀμελεῖς ἐστε, καὶ οὐ μετανοίας ποιεῖτε, οὔτε νητεύετε, οὔτε ἀγρυπνεῖτε· ἀλλ' ὅλην τὴν ἡμέραν ἐργάζεσθε καὶ κοπιᾶτε· καὶ ἑσπέρας πίπτετε εἰς τὴν στρωμνήν, καὶ ἀναπαύεσθε, καὶ κοιμᾶσθε ὡς χοῖροι ἕως τὸ ταχύ. τὸ δὲ ταχὺ πάλιν τρέχετε εἰς τὴν ἐργασίαν ὑμῶν. καὶ ἡμέρᾳ τῇ ἡμέρᾳ οὐ ποιοῦμεν τίποτε διὰ τὴν ταλαίπωρον καὶ ἐλεεινὴν ψυχήν. καὶ λοιπὸν φθάνει ὁ θάνατος καὶ εὑρίσκει τὴν ψυχὴν ἔρημον καὶ ἀδιόρθωτον· καὶ ἁρπάζουσιν αὐτὴν οἱ ἄγγελοι καὶ παραδίδωσιν τῇ αἰωνίᾳ κολάσει. τί ὠφέλησεν ἡμᾶς ὁ πλοῦτος, καὶ τὰ πρόσκαιρα πράγματα, καὶ ὁ πλάνος κόσμος; τὸ λοιπόν, τέκνα· ἐπειδή, ὡς εἶπον, οὐ δύνασθε νηστεύειν καὶ ἀγρυπνεῖν, κἂν ἀπὸ τῶν κόπων ὑμῶν ποιήσατε ἐλεημοσύνην εἰς τοὺς πτωχούς· ὅτι ὁ ἐλεῶν πτωχὸν δανείζει Θεῷ. καὶ πάλιν, ἡ ἐλεημοσύνη ἐκ θανάτου ῥύεται τὸν ἄνθρωπον, καὶ οὐκ ἔστι μεγαλώτερον τῆς ἐλεημοσύνης καὶ τῆς ἁγίας λειτουργίας. καὶ μηδεὶς ἀμελήσει τῆς ἐξομολογήσεως· ὅτι ἡ καθαρὰ ἐξομολόγησις καθαίρει τὴν ψυχὴν καὶ ἁγιάζει. ὁ δὲ ἱερεὺς παρακαλεῖ τὸν Θεὸν εἰς τὴν ἁγίαν λειτορυγίαν, ἵνα συγχωρήσῃ ἡμῖν τὰ ἁμαρτήματα. καὶ τὸ λοιπόν· ἐὰν ἐξομολογηθῇ ὁ Χριστιανὸς καθαρῶς ἔχων τὴν ἀγάπην μὲ ὅλην τὴν ἀδελφότητα, ἔχομεν θάρρος εἰς τὴν

---

22 ἐπιστρέψατε MaMbV 22-23 ἐξομολογήσασθαι MaMbV 24 μετανίας MbV ποιῆτε MaMb 27 στρομνὴν MbV 33 παραδιδόασι Mc ante τῇ add. αὐτὴν MaMbV αἰωνίῳ Mc 37 τὸν κόπον MaMbV 39 πτωχῷ MaMbV πτωχω a.c. πτωχὸν p.c. Mc 41 μεγαλώτερον ) μεῖζον Mc 46 post ἡμῖν add. ὁ Θεὸς Mc post ἁμαρτήματα expl. Ma καὶ τὸ om. Mc 46-47 ἐξομολογηθεῖ Mb 47 καθαρῶς ἔχων ) καθαρά· ἔχοντα MbV

φιλανθρωπίαν τοῦ παναγαθοῦ Θεοῦ ἵνα δεχθῇ τὴν μετάνοιαν ἡμῶν καὶ συγχωρήσῃ ἡμῖν τὰ πλημμελήματα. πάλιν λέγω ὑμῖν, τέκνα· μὴ ἀμελῆτε τοῦ εἰσέρχεσθαι εἰς τὴν ἐκκλησίαν· ὅτι ἡ ἐκκλησία ἐστὶν ὁ λιμὴν τῶν ἁμαρτωλῶν· ἡ ἐκκλησία εστὶν ἐπίγειος παράδεισος· ἡ ἐκκλησία ἐστὶν ὁ οἶκος τοῦ Θεοῦ. ἐκεῖ βαπτίζεται ὁ ἄνθρωπος· ἐκεῖ εὐλογεῖται· ἐκεῖ κοινωνεῖ· ἐκεῖ θάπτεται· ἐκεῖ μνημονεύεται· ἐκεῖ γνωρίζει τὸν Θεὸν ὁ ἄνθρωπος, καὶ χωρὶς τῆς ἐκκλησίας οὐκ ἔνι δυνατὸν σωθῆναί τινας οὐδὲ εὑρεῖν ἀνάπαυσιν ἡ ψυχὴ αὐτοῦ. πάλιν λέγω ὑμῖν, τέκνα ἠγαπημένα· μηδεὶς ἔχων ἀνεξαγόρευτα κρίματα, ἢ ἄνδρας ἢ γυναῖκα, καὶ κοινωνήσει τὰ θεῖα μυστήρια ἢ διὰ φόβον ἢ ἐντροπὴν ἀνθρώπων, καὶ καλὸν ἦν αὐτῷ, εἰ οὐκ ἐγεννήθη ὁ ἄνθρωπος ἐκεῖνος, ὅτι πῦρ ἔβαλε καὶ κατέκαυσε τὴν ψυχὴν αὐτοῦ· διότι ἥμαρτε καὶ μετὰ τὴν ἁμαρτίαν κατεφρόνησε καὶ τὸν Θεὸν καὶ ἐκοινώνησεν ἀναξίως. διὰ τοῦτο προσέχετε, παρακαλῶ, ἕκαστος ὑμῶν μὴ διπλοῦν τὸ κακὸν ποιήσωμεν. μή, παρακαλῶ, μὴ παροξύνωμεν τὸν Δεσπότην ἡμῶν καὶ Θεόν, ἀλλὰ θεραπεύσωμεν διὰ καθαρᾶς μετανοίας καὶ ἐξομολογήσεως, ἵνα καὶ τῆς αὐτοῦ βασιλείας ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, κράτος, τιμὴ καὶ προσκύνησις, σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

49 δεχθεῖ MbV 50 συγχωρήσει MbV 51 ἀμελεῖτε MbV τοῦ om. MbV 52 ὅτι ἡ ἐκκλησία om. Mb ἡ ἐκκλησία ) ἐκεῖ V 53 ἐστὶν δὲ ὁ Mb 56 κοινωνοῖ V 56-57 ἐκεῖ θάπτεται· ἐκεῖ μνημονεύεται om. Mb 59 τινα Mc 61 ἢ ἀνὴρ ἢ γυνή Mc 63 αὐτῷ ) αὐτόν Mc 66 καὶ[1] om. Mc 68 διπλὸν V διπλῶν Mb 69 παροξύνομεν MbV 72 ἐπιτύχομεν MbV πᾶσα om. MbV 76 αὐτοῦ om. MbV 77 om. Mb

Sermo II (Devreesse/Mioni 2. in dominicam secundam). Mb ff. 2r-3v, Mc ff. 109r-110v, V ff. 178r-179r.

Κυριακῇ δευτέρᾳ (τῶν νηστειῶν).

Ἀδελφοί μου καὶ τέκνα ἠγαπημένα· ἀκούσατέ μου, παρακαλῶ, τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ γέροντος ὀλίγον καὶ μικρὸν λόγον, καὶ μὴ βαρυνθῆτε. τέκνα· ἡ πρώτη ἑβδομὰς τῆς ἁγίας Τεσσαρακοστῆς σὺν Θεῷ πέρας ἔλαβε καὶ ἡ δευτέρα ἦλθε. καὶ μηδεὶς ῥαθυμήσῃ, μηδεὶς ὀκνήσῃ εἰς τὴν ἀγαθὴν ἐργασίαν. διότι οὐδεὶς λαμβάνει μισθὸν χωρὶς κόπου. ἕκαστος κατὰ τὸν κόπον αὐτοῦ λαμβάνει καὶ τὸ πλήρωμα. ὅστις κοπιάσει πλειότερα λαμβάνει καὶ πλειότερον μισθόν. καὶ ὁ κοπιάσας ὀλίγα καὶ ὀλίγον μισθὸν λήψεται. καὶ ὅστις οὐδόλως κοπιάσει οὔτε πολὺν μισθὸν λήψεται οὔτε ὀλίγον. καὶ ποῖος μισθὸς καὶ πλήρωμα μεγαλώτερον τῆς βασιλείας τῶν οὐρανῶν; ὀλίγον καιρὸν κοπιάζει τινὰς καὶ πολὺ κέρδος ἔχει. ὀλίγας ἡμέρας νηστεύει καὶ κακοπαθεῖ, καὶ πολὺν μισθὸν ἀναμένει. λοιπόν, ἀδελφοί μου καὶ τέκνα· ἕως καιρὸν ἔχωμεν, βιασώμεθα μὴ ἀμελήσωμεν καὶ χάσωμεν τὸν καιρὸν ἡμῶν, ἐπειδὴ ὅστις ἀπολέσει πράγματα, πάλιν εὑρήσει πράγμα-

---

1 μου om. V 4 βαρυνθεῖτε Mb ἑβδομάδα V 6 ῥαθυμήσει MbV ὀκνήσει MbV 9-10 τὸ πλήρωμα ... λαμβάνει καὶ om. Mc 10 πλειότερον ) πλείονα Mc 11 ὁ om. Mb καὶ om. Mc 12-13 πολὺν μισθὸν ... οὔτε om. Mb 14 μεγαλώτερον ) μεῖζον Mc 15 κοπιᾷ τις Mc πολὺ ) πολ(λ)ὺν MbV 17 πολὺς μισθὸς Mb καὶ λοιπὸν MbV 18 ἔχομεν Mc βιαζόμεθα MbV 19 χάσωμεν τὸν καιρὸν ἡμῶν ) ἀπολέσωμεν τὸν μισθὸν ἡμῶν Mc 20 ἀπολέση Mc εὑρίσκει MbV

τα. εἰ δ' ὁποῖος χάσει καιρόν, ἄλλον καιρὸν οὐχ εὑρήσει. λοιπὸν μὴ ἀπολέσωμεν τὸν καιρὸν ἡμῶν εἰς τὸ φαγεῖν καὶ πιεῖν καὶ σπαταλᾶν· ὅτι ἁγίαι ἡμέραι ὑπάρχουσι, καὶ οἱ ἀγαπῶντες τὸν Θεὸν καὶ τὴν ψυχὴν αὐτῶν ἐν ταύταις ταῖς ἁγίαις ἡμέραις ἀγωνίζονται καὶ σπουδάζουσιν· ἄλλος νηστεύει, ἄλλος ἀγρυπνεῖ, ἕτερος ἐλεημοσύνην ποιεῖ, ἄλλος μετανοίας καὶ γονυκλισίας, ἕτερος λειτουργίας, ἕκαστος εἴ τι δύναται· ὁ μὲν εὐχέλαιον, ὁ δὲ προσευχὴν καὶ ἀγῶνα μελέτης. διὸ παρακαλῶ· ἐργάζεσθε καὶ μὴ ἀμελῆτε, ἀλλὰ μετὰ προθυμίας καὶ ἀγάπης δουλεύσωμεν τῷ Χριστῷ, ἵνα εὕρωμεν ἔλεος ἐν τῇ φοβερᾷ ἡμέρᾳ τῆς κρίσεως. ὁ γὰρ καιρὸς ἤγγικε καὶ ὁ θάνατος ἐπέστη ἐπὶ θύραις. καὶ ὁ σήμερον νέος, αὔριον γέρων· καὶ ὁ σήμερον δυνατός, αὔριον ἀδύνατος. καὶ καθ' ἣν ἡμέραν πλησιάζομεν τοῦ θανάτου, καὶ ἡμέρᾳ τῇ ἡμέρᾳ φθάνει τὸ τέλος. καὶ τῇ ὥρᾳ ἐκείνῃ τίς διηγήσεται τὸν φόβον καὶ τὴν ἀνάγκην ἐκείνην τοῦ χωρισμοῦ τῆς ψυχῆς; τότε οὐ δύναται βοηθῆσαί τινας· οὐ πατὴρ υἱῷ, οὐδὲ μήτηρ θυγατρί, οὐδὲ ἀδελφὸς ἀδελφῷ, οὐ φίλος φίλῳ, ἀλλὰ μόνον τὸ καλὸν ἔργον τοῦ ἀνθρώπου ἐκεῖνον ἔχει βοηθόν. εἰ δὲ ἔχει πονηρὰ καὶ κακὰ ἔργα οὐκ ἔχει βοήθειαν, ἀλλὰ παραλαμβάνουσιν αὐτὸν οἱ πονηροὶ δαίμονες καὶ ἀπάγουσιν αὐτὸν εἰς τὰ καταχθόνια ὑποκάτω τῆς γῆς εἰς τόπον σκοτεινὸν καὶ ζοφερόν, ὅπου οὐκ ἔστιν ἄνεσις, ἀλλὰ ἀνάγκη μεγάλη. καὶ λοιπὸν οὐκ ἔχει πλέον ἐλπίδα ἰδεῖν φῶς ἢ ἀνάπαυσιν. καὶ μηδεὶς

---

21 καιρὸν$^{2}$ om. MbV 22 εὑρίσκει MbV καὶ λοιπὸν MbV 23 τὸ om. MbV φαγῆν Mb σπαταλεῖν MbV 24 αἱ ἁγίαι Mb 26 ἀγονίζοντ$^{αι}$ες V 27 νηστεύειν Mc ἀγρυπνεῖν Mc 28 γονυκλησίας MbV 31 ἐργάζεσθαι MbV ἀμελεῖτε MbV 33 εἰς τὴν φοβερὰν ἐκείνηην ἡμέραν (-α V) MbV 35 γέροντας MbV 36 ἀδύναμος MbV 44 καὶ κακὰ om. Mc

ἀπιστείτω, ἀδελφοί, τοῖς λεγομένοις. λοιπὸν οὐκ ἔχει τέλος οὐδὲ μέτρον ἡ κόλασις, καὶ ὥσπερ οὐκ ἔχει τέλος οὐδὲ μέτρον ἡ κόλασις, οὐδὲ ἡ ἀνάπαυσις καὶ ἡ χαρὰ τῶν δικαίων οὐδὲν μέτρον ἔχει οὔτε τέλος. διὸ παρακαλῶ· βλέπετε μὴ χάσωμεν τὴν βασιλείαν τῶν οὐρανῶν καὶ τὸν ὡραιότατον ἐκεῖνον παράδεισον καὶ τὴν κόλασιν κληρονομήσωμεν διὰ πρόσκαιρον ἡδονὴν καὶ σαρκικὴν ἀπόλαυσιν, ἀλλὰ καθαρίσωμεν ἕκαστος τὴν ἑαυτοῦ ψυχὴν δι' ἐξομολογήσεως καθαρᾶς καὶ ἔργων ἀγαθῶν. γέγραπται γάρ: ἔκκλινον ἀπὸ κακοῦ καὶ ποίησον ἀγαθόν. ποιήσωμεν, ἀδελφοί, ἔργα ἀγαθὰ καὶ μισήσωμεν τὰ πονηρὰ καὶ τὰς συμβουλὰς τοῦ Διαβόλου, ἵνα τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχωμεν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

51 ἀπιστήτω (-ο V) MbV 52 μέτρος Mb μέτρως Mc μέτρον V 52-53 καὶ ὥσπερ ... ἡ κόλασις om. MbV 54-55 οὐδὲ μέτρος MbV (μέτρως Mc) 63 ἀδελφοί μου MbV 64 συμβολὰς Mc 67 Χριστοῦ om. Mb δόξα om. McV 68 αὐτοῦ ) σου codd. 69 αὐτοῦ ) σου Mc

*61-63 Ps. 33 (34), 15 (cf. 1 Pe 3, 11)*

Sermo III (Devreesse/Mioni 3. in dominicam tertiam). Mb ff. 3v-4v, Mc ff. 110v-112v, V ff. 179v-180v.

Κυριακῇ τρίτῃ (τῶν νηστειῶν).

Ἰδού, ἀδελφοί μου καὶ τέκνα, ἡ τρίτη τῶν ἑβδομάδων ἐπῆλθε καὶ οἱ καλοὶ ἐργάται χαίρονται καὶ ἀγωνίζονται. ὅσον γὰρ θησαυρίζει ὁ ἄνθρωπος, τοσοῦτον κινεῖται εἰς ἀγάπην καὶ προθυμίαν, ἵνα πλείονα αὔξῃ τὸν θησαυρὸν καὶ τὸν πλοῦτον. τοιουτοτρόπω καὶ ὁ θησαυρίζων εἰς τὴν ἑαυτοῦ ψυχήν. ὁ γὰρ πρόσκαιρος πλοῦτος βλέπομεν ὅτι καὶ πολλάκις ἀφανίζεται ἢ ὑπὸ κλεπτῶν ἢ ὑπό τινος ἄλλης αἰτίας, ὥσπερ ἔθος ἐστὶν τῶν προσκαίρων διαφθείρεσθαι καὶ ἀφανίζεσθαι, ὡς τὰ πάντα φθαρτὰ καὶ παραρρέοντα. ὁ δὲ κατὰ Θεὸν πλοῦτος αἰώνιος ὑπάρχει καὶ ἄφθαρτος. τί δέ ἐστιν ὁ κατὰ Θεὸν πλοῦτος; αἱ ἀρεταί. αἱ δὲ ἀρεταί εἰσιν αὗται· ἀγάπη κατὰ Θεόν, ἐγκράτεια, ἐλεημοσύνη, προσευχή, ἀγρυπνία, ἀγαθωσύνη, φιλοξενία, ἀποχὴ πάντων τῶν κακῶν. ἐγκράτειά ἐστιν τοῦ ἐγκρατεύεσθαι τοῦ φαγεῖν καὶ μὴ χορτασθῆναι· ἐγκράτειά ἐστιν τῆς γλώσσης, τοῦ μὴ κρίνειν τινά, τοῦ μὴ μετεωρίζεσθαι, τοῦ μὴ γελᾶν καὶ ἀργολογεῖν· ἐγκράτειά ἐστι τῶν ὀφθαλμῶν τοῦ μὴ βλέπειν πονηρῶς καὶ περιέργως κάλλη γυναικῶν, καὶ λογίζεσθαι κακὰ ἐν ταῖς καρδίαις ὑμῶν. καὶ μηδεὶς εἴπῃ, ὅτι οἱ πονηροὶ λογισμοὶ οὐ βλάπτουσι τὴν ψυχὴν τοῦ ἀνθρώπου καὶ ἀπολλύουσιν, ἀλλὰ πολλὰ καὶ μεγάλα βλάπτουσιν αὐτὴν καὶ σκοτίζουσιν. ἐπειδὴ

---

5 πλείονα om. Mc 13 αἱ ἀρεταί ) καὶ αἱ ἀρ. Mc 16-17 ἐγκράτειά ἐστιν... χορτασθῆναι om. Mc 21 κάλλει MbV κάλει Mc

λέγει ὁ Κύριος ὅτι· π ᾶ ς ὁ βλέψας γ υ ν α ῖ κ α π ρ ὸ ς ἐπιθυμίαν ἐ μ ο ί χ ε υ σ ε ν α ὐ τ ὴ ν ἐ ν τ ῇ κ α ρ δ ί ᾳ α ὐ τ ο ῦ. λοιπὸν ἡ ἀρχὴ τοῦ κακοῦ ἐν τῇ καρδίᾳ τοῦ ἀνθρώπου φυτεύεται, καὶ ἀπὸ τῆς καρδίας ἐξέρχεται ὁ πονηρὸς λογισμός, καὶ βλέπει ὁ ἄνθρωπος δολίως. καὶ λοιπὸν ἡ πρώτη ἀρχὴ ἔναι τοῦ βλέμματος, εἶτα τοῦ γέλωτος καὶ τοῦ μετεωρισμοῦ, ἔπειτα τῆς ἀφῆς. ἀφὴν δὲ λέγει τὸ διὰ τῶν χειρῶν ψηλάφισμα. καὶ μετὰ ταῦτα ἐπιτελεῖται τὸ δεινὸν καὶ αἰσχρὸν ἔργον τῆς ἁμαρτίας. καὶ λοιπὸν ἐνδέχεται ἡ κακὴ ἀρχὴ ποιῆσαι καὶ τέλος κακόν. καὶ διὰ τοῦτο προσέχετε, παρακαλῶ, ἀπέχειν ἀπὸ τὴν κακὴν ἀρχήν· τῆς γὰρ ἀρχῆς γινομένης ἐνδέχεται καὶ τὸ τέλος· ἀλλὰ πάντοτε τὴν ἀγαθὴν ὁδὸν ὁδεύοντες, χαίροντες καὶ ἀγαλλιώμενοι. πᾶς γὰρ ὁ ποιῶν τὸ θέλημα τοῦ Θεοῦ πάντοτε χαίρεται ἡ καρδία αὐτοῦ. καὶ ἡ ψυχὴ αὐτοῦ ἀγάλλεται καὶ ὅταν ἔλθῃ τὸ τέλος, πορεύεται εἰς τὴν χαρὰν τὴν αἰώνιον εἰς τὸν τόπον τῆς ἀναπαύσεως, ἔνθα οὐκ ἔστι κόπος ἢ λύπη ἢ στεναγμός· ὅπου οὐκ ἔστι σκοτία, ἀλλὰ φῶς ἀληθινὸν καὶ ἀνέσπερον. οἱ δὲ ἀνόητοι ἄνθρωποι καὶ ἄφρονες ἀκολουθοῦσι τὰς ὀρέξεις τῆς σαρκός, τρώγοντες, πίνοντες, σπαταλῶντες, ὀρχούμενοι, χορεύοντες, πορνεύοντες,

---

32 ἡ om. MbV ἔνε Mc ἕνεκεν V 34 ἔπειτα ) εἶτα Mb 36 ἔργον om. Mc 41 ἀγαλλώμενοι Mb 42 τὰ θελήματα MbV 43 ἡ καρδία ... ἀγάλλεται om. V 46 ἀναστεναγμός Mb 47 σκοτία ) σκότος MbV 50 χορεύοντες om. V πορεύοντες V

*26-29 cf. Mat 5, 27*

καταφρονοῦντες τοῦ Θεοῦ, καὶ ἡ καρδία αὐτῶν πάντοτε θλίβεται ἐλέγχοντα ὑπὸ τῆς συνειδήσεως, καὶ πρὸς ὥραν ποιεῖ τὴν ἄχρηστον ἁμαρτίαν καὶ ἥδεται. ἔπειτα στενάζει καὶ θλίβεται ὡς ἐλεγχόμενος ὑπὸ τῆς συνειδήσεως. διὸ δέομαι ὑμῶν, ἀδελφοί μου καὶ τέκνα· μηδεὶς μου καταφρονήσῃ τοὺς λόγους, ἀλλὰ βάλετε ἀρχὴν ἀγαθὴν εἰς τὸ ἔργον τοῦ Θεοῦ. ἀγαπᾶτε τὴν ἐκκλησίαν, ἄνδρες καὶ γυναῖκες. παύσατε τὰ σκάνδαλα· ἐγκρατεύεσθαι τοῦ πολὺ φαγεῖν καὶ πολὺ πιεῖν καὶ τοῦ γελᾶν καὶ ἀργολογεῖν καὶ μετεωρίζεσθαι· ὅτι εἰς πᾶν ἀργὸν λόγον, ὃν λαλήσῃ ὁ ἄνθρωπος ἀποδώσει λόγον τῷ Θεῷ περὶ αὐτοῦ ἐν ἡμέρᾳ κρίσεως· ἀλλὰ εἷς ἕκαστος ἐνθυμήσθω τὰς ἁμαρτίας αὐτοῦ καὶ δακρύσει καὶ στενάξει καὶ τὸ στῆθος τύψει καὶ τὸν Θεὸν παρακαλέσει, ἵνα μὴ ἀποδώσῃ ἡμῖν ὁ Κύριος κατὰ τὰ ἔργα ἡμῶν, ἀλλὰ σπλαγχνισθῇ καὶ συγχωρήσῃ ἡμῖν ὡς ἐλεήμων καὶ ἀγαθὸς καὶ φιλάνθρωπος Θεός. αὐτῷ ἡ δόξα καὶ τὸ κράτος εἰς ἀπεράντους αἰῶνας. ἀμήν.

---

56-57 καταφρονήσῃ ) καταφροσυνήσει Mc 68-69 ὡς ἐλεήμων καὶ ἀγαθὸς καὶ φιλάνθρωπος Θεός ) ὡς ἀγαθὸς καὶ ἐλεήμων Θεός Mc 69 Θεός om. MbV

Sermo IV (Devreesse/Mioni 4. in dominicam quartam). Mb ff. 4v-6r, Mc ff. 112v-114v, V ff. 181r-182r.

Κυριακῇ τετάρτῃ τῶν νηστειῶν.

Ἐπειδή, ἀδελφοί μου καὶ τέκνα, πέρας ἔλαβε σὺν Θεῷ καὶ ἡ τρίτη τῶν ἑβδομάδων καὶ ἡ τετάρτη ἐπῆλθε, μηδεὶς ῥαθυμήσῃ, παρακαλῶ, ἀλλὰ μετὰ πάσης προθυμίας τὴν ἀγαθὴν ὁδὸν βαδίζοντες ὅλην τὴν ἡμέραν εἰς τὸ ἔργον ὑμῶν ἀσχολεῖσθε καὶ εὐκαιρίαν οὐκ ἔχετε, ἀλλὰ τὴν ἑσπέραν εἰσερχόμενοι ὑπάγετε πρῶτον εἰς τὴν ἐκκλησίαν καὶ προσκυνεῖτε τὸν Θεὸν ὑμῶν καὶ παρακαλέσατε αὐτὸν λέγοντες· Κύριε, μὴ ὀργισθῇς ἡμῖν, Κύριε, διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας, καὶ εἴ τι σήμερον ἥμαρτον ἐν ἔργῳ καὶ λόγῳ, συγχώρησον ἡμῖν, πολυέλεε Κύριε διὰ τὴν πολλήν σου εὐσπλαγχνίαν καὶ ἀγαθότητα. πάλιν δὲ εἰς τὸν Ὄρθρον μὴ ὀκνήσῃς εἰσελθεῖν ἐξαιρέτως τὴν ἁγίαν Κυριακήν. καὶ ὥσπερ κοπιάζετε εἰς τὰ σωματικά, κοπιάσατε καὶ διὰ τὴν ἐλεεινὴν ψυχήν, ἐπειδὴ σύντροφός ἐστιν ἡ ψυχὴ καὶ τὸ σῶμα. καὶ ὥσπερ τὸ σῶμα ζητεῖ φαγεῖν καὶ πιεῖν καὶ ἐνδύσασθαι, οὕτως καὶ ἡ ψυχὴ ζητεῖ καὶ αὐτὴν τὴν τροφὴν αὐτῆς. ἡ ψυχὴ οὐκ ἔχει ἄλλην τροφὴν εἰμὴ τὴν προσευχήν, τὴν ἐγκράτειαν, τὴν ἐλεημοσύνην, τὴν φιλοξενίαν, τὴν ἀγάπην, τὴν ὑπομονήν, τὴν κατάνυξιν, τὴν φιλανθρωπίαν, τὴν λειτουργίαν. καὶ λοιπὸν ὁ καιρὸς τῆς ἁγίας Τεσσαρακοστῆς ἐσοδεία ἐστὶ τῆς ψυχῆς· καὶ ὥσπερ ὁ Σεπτέμβριος μὴν ὑπάρχει ἐσοδεία ὅλου τοῦ χρόνου καὶ

---

8 ἡμῶν MbV 9 ὀργισθεῖς Mb V*ac* ὀργισθῆς V*pc* (vid.) ἡμῖν ) ἡμῶν Mc 11 ἐν om. McV 14 ὀκνήσεις McV 15-16 κοπιάσετε Mc 18 ποιεῖν Mb 21 καὶ τὴν ἐγκ. Mc 24 σαρακοστῆς V 25-26 σεπτεύριος MbMcV 26 ἐσοδία Mb ἐσωδία McV

βιάζεται ὁ ἄνθρωπος ἀπὸ πᾶν πρᾶγμα βαλεῖν εἰς τὸν οἶκον αὐτοῦ· ἀπό τε σίτου καὶ οἴνου, ἐλαίου καὶ ἄλλα πάντα ἅπερ εἰσὶ χρεία τοῦ σώματος, καὶ ἐὰν οὐχ εὕρῃ αὐτὰ βαλεῖν εἰς τὸν οἶκον αὐτοῦ κατ' ἐκεῖνον τὸν καιρόν, οὐχ εὑρίσκει αὐτὰ πλέον εὐκόλως· εἰ δὲ εὕρῃ, μετὰ κόπου εὑρίσκει αὐτὰ καὶ λοιπὸν ἔχει στενοχωρίαν τὸν ὅλον ἐκεῖνον χρόνον· οὕτως ἔνι καὶ περὶ τῆς ψυχῆς· ἐὰν ὁ ἐλεεινὸς ἄνθρωπος τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν οὐ βοηθήσει τῆς ψυχῆς αὐτοῦ νὰ ποιήσῃ ἐλεημοσύνην ἀπὸ τοὺς κόπους αὐτοῦ εἰς πτωχά· ἵνα ποιήσῃ προσευχήν, μετανοίας, λειτουργίας κατὰ τὸ δυνατόν· εὐχέλαιον ἵνα σταθῇ εἰς τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν· νὰ κοπιάσῃ· νὰ ἀγρυπνήσῃ. ἐκεῖ δὲ πάλιν ὅπου ἐργάζεται· ἵνα μελετᾷ τὸν θάνατον, καὶ ἵνα ἔχῃ κατάνυξιν καὶ τὸ Κύριε ἐλέησόν με τὸν ἁμαρτωλὸν πάντοτε μελετᾷ. εἰ δὲ τὴν ἁγίαν Τεσσαρακοστὴν ἀμελήσῃ καὶ ποιήσῃ τίποτε ἀγαθὸν ἔργον διὰ τὴν ταπεινὴν ψυχήν, ἐν ἄλλοτε οὐ ποιεῖ· μόνον τὴν κοιλίαν θεοποιεῖ, τὴν δὲ ψυχὴν ἀφῆκεν ἔρημον καὶ πεινῶσαν καὶ λιμώττουσαν. καὶ τί τὸ ὄφελος, ἐὰν τὸν κόσμον κερδήσωμεν καὶ τὴν ψυχὴν ἀπολεσωμεν; τὸ λοιπὸν ἕως καιρὸν ἔχωμεν, βιασώμεθα. βιαστὴ γάρ ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν. ἕως πότε λογίζεσαι, ἐλεεινὲ ἄνθρωπε, ἔχειν τοῦτον τὸν κόσμον; οὐκ οἶδας ὅτι καὶ ἄλλοι πρὸ σοῦ εἶχον αὐτὸν

---

30 εὕρει MbV  33 στενοχορίαν MbV στενωχορίαν Mc

*( 49–50 cf. Mat 16, 26)  51–53 cf. Mat 11, 12*

καὶ ἀφῆκαν αὐτὸν καὶ μετ' αὐτοὺς ἄλλοι, καὶ μετ' ἐκείνους ἡμεῖς; καὶ λοιπὸν φανερόν ἐστιν ὅτι πλάνος ὑπάρχει καὶ πλανᾷ τοὺς ἀγνώστους καὶ ἄφρονας· οἱ δὲ φρόνιμοι τὸ τέλος βλέπουσι καὶ ἐπιτηροῦσιν. καὶ ὅστις βλέπει τὸ τέλος καὶ τὸν θάνατον μελετᾷ, οὐδέποτε ἁμαρτάνει. εἰ συμβῇ καὶ εἰς αὐτοὺς τίποτε σφάλμα, ταχέως ἐπιστρέφει καὶ διορθοῦται. καὶ πάντοτε ἔχει τὸν φόβον τοῦ Θεοῦ καὶ ἀδιαλείπτως προσεύχεται, καὶ τὸν νοῦν αὐτοῦ εἰς οὐρανοὺς ἀνάγει, καὶ τὸν χορὸν τῶν ἁγίων φαντάζεται, καὶ τῇ ἁγίᾳ Τριάδι παρίσταται μυστικῶς· ᾗ πρέπει δόξα, τιμὴ καὶ εὐχαριστία πρὸς δὲ καὶ προσκύνησις εἰς ἀπεράντους αἰῶνας. ἀμήν.

---

62 συμβεῖ MbV 65 ἀνάγη Mc ἐνάγει Mb αενάγει V

Sermo V (Devreesse/Mioni 5. in dominicam

Κυριακῇ πέμπτῃ ( τῶν νηστειῶν).

Πάλιν, ἀδελφοί μου καὶ τέκνα, βούλομαι ὑπομνῆσαι ὑμᾶς περὶ τῆς σωτηρίας ὑμῶν· ἐπειδὴ βλέπω ὑμᾶς ἀμελεῖς εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, καὶ οὐδεὶς ἔρχεται μετὰ σπουδῆς καὶ προθυμίας, ἀλλὰ ποτὲ μὲν εἰς τὸ μέσον τῆς ἀκολουθίας ποτὲ δὲ εἰς τὸ τέλος, ἄλλοτε δὲ οὐδόλως εἰσέρχεσθε. εἰ δὲ καὶ ἔλθοι τινὰς ἵνα σταθῇ παραμικρόν, ποτὲ μὲν χασμᾶται, ποτὲ δὲ τῷ τείχῳ ἀκουμβίζων κοιμᾶται πόδα πρὸς πόδα ἱστάμενος, ποτὲ δὲ παραμελεῖ καὶ ψιθυρίζει πρὸς τὸν ἕτερον, καὶ ὁ νοῦς αὐτοῦ ἔξω εἰς τὰ βιωτικὰ περιπορεύεται πράγματα. ὅπου γάρ ἐστιν ὁ θησαυρὸς ὑμῶν, φησὶν ὁ Κύριος, ἐκεῖ ἔσται καὶ ἡ καρδία ὑμῶν. ἐὰν στήκῃς, ἄνθρωπε, εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, νόμιζε ὅτι ἔμπροσθεν τοῦ Θεοῦ ἵστασαι· καὶ στῆκε μετὰ φόβου καὶ τρόμου, καὶ λογίζου τὰς ἁμαρτίας σου, καὶ μελέτα πῶς μέλλεις ἀπολογηθῆναι τῷ Θεῷ ἐν ἡμέρᾳ κρίσεως, καὶ στέναξον καὶ δάκρυσον καὶ τύψον τὸ στῆθος, ἵνα ἴδῃ ὁ Θεὸς τὴν συντριβὴν τῆς καρδίας σου καὶ συγχωρήσῃ σοι τὰ πλημμελήματά σου τὰ ἀναρίθμητα.

---

1 τέκνα μου Mc 6 ἄλλοτε δὲ ) ἄλλοι δὲ Mb ἄλλοι τε δὲ V 8 δὲ om. MbV ἀκουμβίζων καὶ Mc 9 πόδα[1] ) πόδια Mc 10 ψηθυρίζει Mb ψϊθηρίζει Mc ψεθυρίζει *a.c.* ψιθυρίζει *p.c.* V 11 περιπολέβεται Mc 15 στήκεις Mc 16 νόμιζε ... τοῦ Θεοῦ om. V 17 στήκου MbV 18 μέλ(λ)ης codd. 18-19 ἀπολογιθῆναι MbV

*12-14 Luc 12, 34*

καὶ μὴ πλανᾶσαι, ἐλεεινὲ ἄνθρωπε, λέγων· οὐκ ἔκλεψα, οὐδὲ ἐπόρνευσα, οὐδὲ ἐπιώρκησα, οὐκ ἔχω λοιπὸν ἁμαρτίας. ἐγὼ δὲ λέγω ὑμῖν ὅτι πᾶσα ἁμαρτία μικρὰ καὶ μεγάλη χωρίζει τὸν ἄνθρωπον ἀπὸ τὸν Θεόν. τοσοῦτον γάρ ἐστι τοῦ κρημνισθῆναι τὸν ἄνθρωπον ἀπὸ μεγάλου κρημνοῦ καὶ ἀποθανεῖν, ὅσον ἀπὸ μικροῦ καὶ ἀποθανεῖν· τόσον γάρ ἐστι πνιγῆναι ἄνθρωπον εἰς βαθύτατον πελαγος, ὅσον εἰς μίαν ὀργυιὰν ὕδατος. τὸ λοιπὸν οὐδεὶς ἀναμάρτητος· καὶ γὰρ καὶ ἀργολογίαι καὶ φθόνος καὶ γαστριμαργία καὶ μέθη καὶ βλασφημία ἢ μισόθεος, καὶ χοροὶ καὶ ὀρχήσεις καὶ τὸ τοῦ Διαβόλου ὄνομα καὶ ἄλλα ἀναρίθμητα ἁμαρτήματα εἰς ἃ πίπτει ὁ ἐλεεινὸς ἄνθρωπος καθ' ἣν ἡμέραν καὶ ὥραν καὶ στιγμὴν καὶ ὑποστιγμὴν οὐ μόνον δὲ τὴν ἡμέραν, ἀλλὰ καὶ τὴν νύκτα. καὶ λοιπόν, ἀδελφοί, μέγας ἐστὶν ὁ φόβος καὶ ὁ τρόμος καὶ μεγάλη ἔννοια, ἵνα λυτρωθῇ ὁ ἄνθρωπος τὰς παγίδας τοῦ Διαβόλου καὶ φύγῃ τὰς χεῖρας αὐτοῦ. βλέπω δὲ καὶ τὰς γυναῖκας εἰσερχομένας ἐν τῇ ἐκκλησίᾳ· καὶ οὐκ ἔρχονται μετὰ ταπεινώσεως καὶ ὑποκλιταὶ μετὰ φόβου Θεοῦ, ἀλλὰ ἀλλάσσουσι τὰς φορεσίας αὐτῶν καὶ στολίζονται καὶ νίβονται παθητικῶς. καὶ οὐκ εἰσέρχονται μετὰ ταπεινώσεως ὡς πρέπει ἁμαρτωλοῖς, ἀλλὰ σχηματίζονται τάχα ὡς ἁγίαι, καὶ ἔσω ἡ καρδία αὐτῶν ἄλλα ἐργάζεται, καὶ ἄλλα μελετᾷ ἡ ἐλεεινὴ γυναῖκα. οὐκ εἰς γάμον ὑπάγεις καὶ στολίζεσαι οὕτως, ἀλλ' εἰς τὴν ἐκκλησίαν τοῦ Θεοῦ, ἵνα προσκυνήσῃς τὸν Θεὸν καὶ κλαύσῃς τὰς ἁμαρτίας σου. καὶ

---

23 μὴ om. Mc 24 πόρνευσα Mc ἐπιόρκισα MbV 29 ὅσον ... ἀποθανεῖν om. Mc 30 βαθήτατον MbV 32-33 καὶ φθόνος, καὶ γαστριμαργία καὶ om. V 36 εἰς ) εἰ Mb εἰς ἃ ) οἷα V 41 φύγει codd. 44 ὑποκληταὶ codd. ἀλ(λ)άσσουν Mc 49 ἡ om. MbV 51-52 προσκυνήσεις codd. 52 κλαύσεις McV

ὕπαγε μετὰ ταπεινώσεως καὶ σχήματος ἀγαθοῦ καὶ συντετριμμένης καρδίας, καὶ στῆκε μετὰ φόβου καὶ τρόμου, καὶ μὴ ὁμιλῇς καὶ ψιθυρίζῃς, καὶ τοὺς ὀφθαλμοὺς σου στρέφῃς ἔνθεν καὶ ἔνθεν, καὶ περιεργάζεσαι τοὺς ἑτέρους ἀνθρώπους καὶ λογίζεσαι ἄλλα τῶν ἄλλων. καὶ ἐὰν στήκῃς εἰς τὸν τοιοῦτον λογισμόν, ἁμαρτίαν ἔχεις καὶ οὐ μισθόν. οἱ ἄνδρες στήκετε κατὰ ἀνατολάς, κατὰ τὸ θέλει ὁ Θεός, καὶ μὴ στρέφεσθε ὄπισθεν καὶ περιεργάζεσθε, ποία τῶν γυναικῶν ἐστιν εὐμορφότερη, ποία δὲ καλοστόλισθος, ποία δὲ λευκότερη καὶ ποία σιτόχροος. μή, παρακαλῶ, μὴ θλίψωμεν τὸν Δεσπότην ἡμῶν τὸν εὔσπλαγχνον καὶ ἐλεήμονα, ἀλλὰ θεραπεύσωμεν δι' ἔργων ἀγαθῶν, ἵνα καὶ αὐτὸς θεραπεύσῃ ἡμᾶς. καὶ ἐὰν ποιῶμεν τὰ θελήματα αὐτοῦ, ἐξαποστελεῖ ἐφ' ἡμᾶς τὰ ἐλέη αὐτοῦ, σῖτον καὶ οἶνον ἐμπλήσει ἡμᾶς καὶ εἴ τι ἄλλο ἀγαθὸν εἰς τὴν χρείαν ἡμῶν· καὶ τὴν αἰώνιον ζωὴν χαρίσηται ἡμῖν καὶ τὴν ἐπουράνιον βασιλείαν. εἰ δὲ παροργίζομεν αὐτὸν καὶ οὐ ποιοῦμεν τὸ θέλημα αὐτοῦ, πέμψειν ἔχει ἐφ' ἡμᾶς τὴν ὀργὴν αὐτοῦ καὶ σπείρειν ἔχετε καὶ οὐ θερίζειν καὶ κοπιᾶν ἔχετε εἰς μάτην. καὶ λοιπὸν στερήσειν ἔχει ἡμῖν ὁ Θεὸς καὶ τὰ σωματικὰ καὶ τὰ ψυχικὰ καὶ οὐαὶ ἡμῖν. λοιπὸν ἀκούσατέ μου τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ γέροντος. καὶ ἐὰν μου ἀκούσητε, ἐλπίζω εἰς τὸν πανάγαθον Θεὸν ἵνα πέμψῃ εἰς ἡμᾶς τὸ ἔλεος αὐτοῦ· ὅτι πολυ-

---

55 ὁμιλεῖς McV 57-58 τοὺς ἑτέρους ... λογίζεσαι om. V 58 στήκεις Mc 62-63 εὐμορφοίτερη Mb ἐμμορφότερη Mc 63 κακοστόλισθος Mc καὶ ποία δὲ λευκ. Mc 68 ἐξαποστελλεῖ codd. 70 ἄλλον MbV 71 ἐκείνη αἰώνιον V 79 ἀκούσατε Mc 80 πέμψει Mc πέμψοι MbV

ἐλεός ἐστι καὶ οἰκτίρμων καὶ μετανοῶν ἐπὶ ταῖς κακίαις ἡμῶν. καὶ οὐκ ὀργίζεται οὐδὲ ἀποστρέφεται τὸν ἁμαρτωλόν, ἐὰν ὁλοψύχως πρὸς αὐτὸν ἐπιστρέψῃ, ἀλλ' ἐναγκαλίζεται αὐτὸν ὡς γνήσιον υἱὸν αὐτοῦ καὶ καταφιλεῖ καὶ ἀσπάζεται. καὶ λοιπὸν οὐ βλέπει τὰ πολλὰ ἡμῶν ἁμαρτήματα εἰς τὸν ὁλοψύχως μετανοοῦντα καὶ ἐπιστρέφοντα· καὶ μάρτυς ἡμῖν ἀληθέστατος ὁ ἐπὶ τοῦ σταυροῦ λῃστής. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα, κράτος, τιμὴ καὶ προσκύνησις εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

88 τοῦ om. MbV

Sermo VI (Devreesse/Mioni 6. in dominicam sextam). Mb ff. 7v-8v, Mc ff. 117r-119v, V ff. 184v-186r.

Κυριακῇ ἕκτῃ (τῶν νηστειῶν)

Ἀδελφοί μου καὶ τέκνα μου· πάλιν παρακαλῶ καὶ δέομαι ὑμῶν καὶ ταύτην τὴν μικρὰν διδασκαλίαν καὶ εὐτελῆ ὑποδέξασθαι τοῦ ταπεινοῦ. ἰδοὺ γὰρ αἱ ἅγιαι καὶ καθαραὶ ἡμέραι πέρας λαμβάνουσιν, καὶ οἱ δουλεύοντες ἐκδέχονται τὸν μισθὸν καὶ τὸν στέφανον· οἱ δὲ ἀμελεῖς καὶ ῥάθυμοι καὶ ἀναπεπτωκότες οὔτε μισθὸν ἐκδέχονται ἀλλ' οὐδὲ στέφανον. ὥσπερ γὰρ οἱ θερισταὶ ὅλην τὴν ἡμέραν ἐργάζονται καὶ κοπιῶσιν ἐν τῷ καύσωνι τῷ βαρυτάτῳ, καὶ ποτὲ μὲν κύπτουσι, ποτὲ δὲ στήκοντες ἐργαζόμενοι, ἀναμένοντες τὸν ἥλιον πότε δύσει, ἵνα ἀναπαύσωνται· ἐπὰν δὲ ὁ ἥλιος δύσει, χαίροντες καὶ ἀγαλλιῶνται πορευόμενοι εἰς τοὺς δεσπότας αὐτῶν μετὰ πάσης παρρησίας καὶ χαρᾶς λέγοντες αὐτῷ· δὸς ἡμῖν φαγεῖν καὶ πιεῖν καλῶς, ἐπειδὴ ὅλην τὴν ἡμέραν πολλὰ κοπιάσαντες καὶ τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα βαστάσαντες. τότε ὁ οἰκοδεσπότης μετὰ πάσης χαρᾶς αὐτοὺς ὑποδέχεται ἑτοίμως ἔχων τὴν τράπεζαν λέγων αὐτοῖς· καθίσατε οἱ δοῦλοι μου καὶ φάγοντες καὶ πίνοντες εὐφράνθητε, ὅσον βούλεσθε. καὶ καθίσαντες εὐφραίνονται μετὰ πάσης χαρᾶς. ἐὰν δέ ἐστί τινας ἐξ αὐτῶν ἀνενέργητος ἢ ἀμελής, γογγύζοντες αὐτὸν καὶ λέγοντες· καλῶς ἐδείπνησας, ἀλλὰ κακῶς ἐδούλευσας. ἐκεῖνος

---

1. μου$^2$ om. V 2 ταύτην μου Mc 3 εὐτελεῖ codd. 11 στήκονται (ες supra lin.) V στέκοντες Mb 13 πορευομένοις V 21-22 βούλεσθαι codd. 25 ἐκεῖνον MbV

δὲ αἰσχυνόμενος γλῶσσαν οὐκ ἔχει ἀποκριθῆναι αὐτοῖς. μετὰ δὲ τὸν δεῖπνον καὶ τὴν χαρὰν ποιήσας ὁ οἰκοδεσπότης τὸ προχείριον αὐτοῦ παρέχει αὐτοῖς τὸν μισθὸν καὶ τὸ πλήρωμα. εἶτα εὔχεται αὐτοῖς καὶ εὐχαριστεῖ καὶ πολυχρονεῖ. ἔρχεται γοῦν καὶ εἰς τὸν ἀμελῆ καὶ ὀκνηρὸν καὶ μετὰ βάρους καὶ κακῆς καρδίας πληρώνει καὶ αὐτὸν καὶ οὐχ ὥσπερ τοὺς ἄλλους τοὺς καλῶς δουλεύσαντας, ἀλλὰ κατὰ τὸν κόπον αὐτοῦ, καὶ ἀπέρχονται. ποτὲ μὲν ἔρχονται καὶ ἄλλοι γείτωνες ἔξω στήκοντες, ἀλλ' οὐκ ἔχουσι παρρησίαν αἰτῆσαι ἢ λαλῆσαι. οὕτως ἐστὶ καὶ οἱ δουλεύοντες τῷ Θεῷ· ἐκδέχονται τὴν ἁγίαν καὶ ὑπέρλαμπρον ἡμέραν, ἵνα τὸν μισθὸν καὶ τὸ πλήρωμα λάβωσιν, ὡς ὅλην τὴν ἁγίαν καὶ μεγάλην Τεσσαρακοστὴν καλῶς καὶ σπουδαίως δουλεύσαντες ἔν τε νηστείᾳ καὶ ἀγρυπνίᾳ καὶ ἐλεημοσύνῃ καὶ πάσῃ ἄλλῃ ἀρετῇ. καὶ ὅσοι σπουδάζουσι καὶ προθυμοῦσιν, ἁρπάζουσι τὸν μισθόν. ὅτι βιαστή ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ κ α ὶ β ι α σ τ α ὶ ἁ ρ π ά ζ ο υ σ ι α ὐ τ ή ν. οἴδατε, τέκνα, τοὺς ἁγίους μάρτυρας ὅτι τὰ αἵματα αὐτῶν ἔχυσαν διὰ τὴν ἀγάπην τοῦ Θεοῦ· ἄλλους ἔβαλον εἰς τὴν κάμινον, ἄλλους τὰς κεφαλὰς αὐτῶν ἔκοψαν, ἄλλους ἐν θαλάσσῃ ἀπέπνιξαν. ἕκαστος αὐτῶν δεινὸν καὶ πικρὸν ἔλαβε θάνατον, ἵνα τὴν βασιλείαν τῶν οὐρανῶν κληρονομήσωσιν. ἡμεῖς δὲ οὔτε αἵματα χύνομεν, οὔτε κεφαλὰς ἀποτεμνόμεθα, οὔτε ἄλλο βάσανον ἀποδεχόμεθα διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ, οὔτε ἄλλο ἀγαθὸν ποιοῦμεν κἂν τὴν ἀγάπην ἐχόμεθα. κἂν εἰς εἰς τὴν

---

29 πλήρωμαν MbV 35 στέκοντες Mb 36 ἔχωσι Mb 40 Τεσσαρακοστὴν ) καὶ σαρακοστὴν Mc 45 αὐτὴν ) τὸν μισθὸν αὐτῶν Mc

*44–45 cf. Mat 11, 12*

ἐκκλησίαν προθύμως εἰσέρχεσθε· νηστεύσατε, ἀγρυπνήσατε, ἵνα ἔχετε θάρρος εἰς τὸν Θεόν. ὅτι ὃς οὐ σπείρει οὐκ ἔχει θερίσαι· καὶ ὃς οὐ θερίζει, οὐκ ἐκδέχεται καρποὺς εἰς τὸν οἶκον αὐτοῦ βαλεῖν. ὁ δὲ μὴ ἔχων εἰς τὸν οἶκον αὐτοῦ τὰ πρὸς τὴν χρείαν ἐνδέχεται ὁ τοιοῦτος πεινᾶσαι καὶ διψᾶσαι καὶ γυμνητεῦσαι καὶ κακοπαθῆσαι. τοιούτῳ γὰρ τρόπῳ καὶ ὁ ἀμελὴς καὶ ὁ ὀκνηρὸς εἰς τὸ ἔργον τοῦ Θεοῦ· κάθηται ἄνετος χωρὶς ἀγαθοῦ, καὶ αἱ ἡμέραι αὐτοῦ +περάουσι+ καὶ αὐτὸς ἄκαρπος μένει ὡς τὸ δένδρον τὸ ἄκαρπον. τὸ λοιπὸν ὀλίγος ἐστὶν ὁ κόπος καὶ πολὺς ὁ μισθός. ὀλίγον καιρὸν κακοπαθεῖ ὁ ἄνθρωπος, καὶ εἰς αἰῶνα αἰῶνος ἀγάλλεται καὶ χαίρεται. διὸ ἕως καιρὸν ἔχωμεν, μὴ ἀμελήσωμεν, ἀλλὰ σπουδάσωμεν ἵνα τύχωμεν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἡ τιμὴ καὶ ἡ εὐχαριστία, πρὸς δὲ καὶ ἡ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι· νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

56 εἰσέρχεσθαι codd.  58-59 θερίσαι· καὶ ὃς οὐ om. MbV  59 θερίσει MbV  θερίση Mc  60 ἔχω Mc  ἔχον V  62 διψῆσαι MbV  65-66 περεοῦσι MbMc  περϊοῦσι V  68-70 κακοπαθεῖ ... ἕως καιρὸν om. Mc  75-76 αὐτοῦ om. MbV  77. om. Mb

Sermo VII (Devreesse/Mioni 7. (de blasphemia)). Mb ff. 8v-9v, Mc ff. 119v-121v, V ff. 186r-187v.

(περὶ βλασφημίας)

'Αδελφοί μου καὶ τέκνα· βούλομαι ὁ ταπεινὸς ὑπομνῆσαι ὑμᾶς περὶ τῆς αἰσχρᾶς καὶ μισοθέου βλασφημίας· ὅτι βλέπω μικροὺς καὶ μεγάλους, ἄνδρας τε καὶ γυναίκας εἰς τοῦτο τὸ μυσαρὸν καὶ αἰσχρὸν πάθος πεσόντας. ἐγὼ δὲ λέγω ὑμῖν, τέκνα, ὅτι οὐκ ἔστιν βαρυτέρα ἁμαρτία ἐπὶ τῆς γῆς πλὴν τῆς βλασφημίας αὐτῆς. ὁ γὰρ φονεύσας κανόνα ἔχει καὶ νόμον· ὁμοίως καὶ ὁ κλέπτης καὶ ὁ πόρνος καὶ πᾶς ἁμαρτωλὸς ἔχει νόμον καὶ συγχώρησιν. ὁ δὲ θεοκατάρατος βλάσφημος οὔτε κανόνα ἔχει οὔτε νόμον, ἀλλ' οὐδὲ συγχώρησιν. ἐπειδὴ κεχωρισμένος ἐστὶν τοῦ Θεοῦ ὁ βλάσφημος οὐκ ἔχει ἐλπίδα σωτηρίας· ὁ βλάσφημος οὐκ ἔχει φίλον ἅγιον· οὐκ ἔχει μέρος εἰς τὸν παράδεισον· ὁ βλάσφημος ἐχθρὸς τοῦ Θεοῦ ὑπάρχει· ὁ βλάσφημος φίλους ἔχει τοὺς δαίμονας· ὁ βλάσφημος χείρων ἐστὶν τῶν δαιμόνων. οἱ γὰρ δαίμονες τὸν Θεὸν οὐχ ὑβρίζουσιν, ἀλλὰ μᾶλλον φοβοῦνται καὶ τρέμουσιν. καὶ ὅπου ὁ Χριστὸς ὀνομασθῇ ἢ ὁ ζωοποιὸς αὐτοῦ σταυρός, οἱ δαίμονες φρίττουσιν καὶ τρέμουσιν. οἱ 'Εβραῖοι δὲ τὸν Χριστὸν ἐσταύρωσαν, ἀλλ' οὐχ ὑβρίζουσιν αὐτὸν οὐδὲ ἀτιμάζουσιν· σὺ δὲ Χριστιανὸς ὢν καὶ εἰς τὸ ὄνομα τοῦ Χριστοῦ βεβαπτισμένος, καὶ σὺ ὑβρίζεις αὐτόν. ὢ γῆ καὶ ἥλιε· ὢ Θεοῦ δίκη· καὶ πῶς ἀνέχεις Κυριε; ὢ ἥλιε·

---

2 ὑμᾶς ) ὑμῖν MbV 8 κανόναν McV 17 χεῖρον *Vpc* Mc χοῖρον Mb *Vac* 17 οἱ γὰρ δαίμονες om. Mb 22 αὐτὸν οὐδὲ ἀτιμάζουσιν om. V

πῶς οὐ καίεις ἡμᾶς τὸν ποιητήν σου ὁρῶν ἡμᾶς ὑβρίζοντας; ὦ γῆ· πῶς οὐκ ἀνοίγεις στόμα καὶ καταπίνεις ἡμᾶς ἀκούοντα τὸν ποιητήν σου ὑβρίζοντας, οὗ τῷ βλέμματι αὐτοῦ τὸ τοσοῦτόν σου μῆκος καὶ βάρος τρέμειν παρακινεῖ καὶ ταράττειν σου. οὐ τρέμεις, ἐλεεινὲ ἄνθρωπε, οὐ φρίττεις ὑβρίζων, ὃν τρέμουσιν ἄγγελοι; οὐχὶ εἰς τὸ ὄνομα αὐτοῦ ἐβαπτίσθης τρισάθλιε; ἐκεῖνον ὑβρίζεις ὁ βλέπων τὴν γῆν καὶ ποιῶν αὐτὴν τρέμειν; οὐκ οἶδας, ἐκεῖνος βρέχει τὴν γῆν καὶ τοὺς ἀέρας ἐγείρει καὶ τὰ πάντα ζωογονεῖ; ἐκεῖνος ἐποίησε τὸν οὐρανὸν καὶ τὴν γῆν καὶ τὴν θάλασσαν, τὸ φῶς καὶ τὸ σκότος καὶ πάντα τὰ ὁρατὰ καὶ ἀόρατα· καὶ σὺ ὑβρίζεις αὐτόν, ἄθλιε καὶ ταλαίπωρε ἄνθρωπε; οὐ φοβεῖσαι μήπως χάνῃ ἡ γῆ καὶ καταπίῃ σέ; οὐ φρίττεις μήπως πέσῃ ἐξ οὐρανοῦ κεραυνὸς καὶ κατακαύσῃ σέ; ἐποίησέ σε ὁ θεός, ἐλεεινὲ ἄνθρωπε, ἵνα ὑμνῇς καὶ δοξάζῃς αὐτόν· καὶ ἐσὺ ἀντὶ τοῦ ὑμνεῖν καὶ δοξάζειν ὑβρίζεις καὶ ἀτιμάζεις; καὶ ποῦ μέλλεις καταντῆσαι; οὐαὶ τῷ βλασφήμῳ· ὅτι οὔτε μνημόσυνα αὐτὸν ὠφελήσουσιν οὔτε λειτουργίαις οὔτε εὐχέλαια, ἐὰν μὴ ἐπιστρέψῃ καὶ κλαύσῃ καὶ μετανοήσῃ καὶ παύσῃ τὸ τοιοῦτον κακόν. ὅστις, ἀδελφοί μου, ἀποθάνῃ εἰς τὸ πάθος αὐτὸ τῆς βλασφημίας, καθαρὰ καὶ ἀληθινὰ ἔνι τῆς κολάσεως· καὶ μηδὲν πλανηθῇ ὅτι ἔχει παντελῶς θάρρος εἰς τὸν θεόν. διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ πάλιν παρακαλῶ, ἀδελφοί μου καὶ τέκνα· παύσατε τὸ τοιοῦτον κακόν, καὶ μὴ χωρισθῆτε τὸν θεόν. παιδεύ-

---

28 καταπίνης MbV *a.c.* καταπίνεις V *p.c.* 29 τῷ ) τὸ MbMc 30 σου om. Mc μῖκος MbMc 40 ταλέπορε Mb ταλαίπορε Mc ταλέπωρε V 43-44 δοξάζειν V 44 σὺ MbMc 51 ἔνει V ἔνε Mc 52 πλανηθῆς MbV

σατε τὰ τέκνα ὑμῶν· παιδεύσατε τὰς γυναῖκας ὑμῶν, ἵνα μὴ εὑρεθῇ τοιοῦτος λόγος πονηρὸς εἰς τὸ στόμα ὑμῶν καὶ χάσωμεν τὴν βασίλειαν τῶν οὐρανῶν, καὶ τὸ πῦρ τὸ αἰώνιον κληρονομήσωμεν. ἴδετε τέκνα, ὅτι ἀπότε ἐφύτρωσεν αὐτὸ τὸ πονηρὸν κακόν, ἐπῆρεν ὁ Θεὸς τὴν χεῖρα αὐτοῦ ἀφ' ἡμῶν καὶ ἔπεσεν ἐφ' ἡμᾶς πᾶν κακόν· ἀστοχίαις, φόνοι, σκάνδαλα, καὶ ἕτερα κακά, τὰ ὁποῖα βλέπομεν σήμερον εἰς ἡμᾶς. καὶ δεικνύει ἡμῖν ὁ Θεὸς ὁδὸν ἵνα μετανοήσωμεν καὶ ἡμεῖς, ὅσον πλέον εἰς τὸ κακὸν πίπτομεν. καὶ τὸ λοιπόν, τέκνα ἠγαπημένα, προσέχετε ἀπὸ τὴν τρισκατάρατον βλασφημίαν, ἵνα μὴ πέσωμεν εἰς βυθὸν ἀπωλείας, ἀλλὰ τύχωμεν τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν· ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

57 εὑρεθεῖ Mc 60 ποτὲ V 61 χεῖραν MbV 62 εἰς ἡμᾶς MbMc 63 τὰ ποῖα McV 65 ὅσον ) τόσον *in marg.* V 72 αὐτοῦ addidi Mc *h.l.* σου

Sermo VIII (Devreesse/Mioni 8.) Mb ff. 9v-11v, Mc ff. 121v-124v, V ff. 187v-189v.

Περὶ τῶν παραδιδόντων ἑαυτοὺς καὶ πράγματα αὐτῶν τῷ Διαβόλῳ.

Βούλομαι πάλιν, ὁ ταπεινὸς καὶ ἁμαρτωλὸς γέρων, ἐνθυμῆσαι ὑμᾶς, ἠγαπημένα μου τέκνα, περί τινος πονηροῦ ἔθους καὶ κακῆς συνηθείας, ὅπερ ὁ πονηρὸς Διάβολος ἔσπειρεν εἰς ἡμᾶς τοὺς Χριστιανούς. βλέπω +οἶ+ ὁ Κύριος, καὶ λυποῦμαι· καὶ τὴν καρδίαν πονῶ καὶ τιτρώσκομαι, ἐπειδὴ βλέπω ὅτι παραδίδωσιν οἱ ἄνθρωποι τὰ πράγματα αὐτῶν, ἔτι δὲ καὶ τὰ παιδία καὶ τὰ ζῷα αὐτῶν τῷ Διαβόλῳ. καὶ ἄνδρες καὶ γυναῖκες, καὶ νέοι καὶ γέροντες, μικροὶ καὶ μεγάλοι, εἷς τὸν ἄλλον παραδίδωσι τῷ Σατανᾷ. καὶ οἴδατε παράδοξον μυστήριον καὶ τέχνην τοῦ Διαβόλου· τὸν Χριστὸν ὑβρίζοντες καὶ τῷ Διαβόλῳ παραδίδονται. τὸν Διάβολον οὐδεὶς ὑβρίζει οὐδὲ ἀτιμάζει, καὶ τὸν Χριστὸν ὑβρίζει καὶ ἀτιμάζει. ὁ Διάβολος φίλος, ὡς φαίνεται, καὶ ὁ Χριστὸς ἐχθρός. καὶ ἐπειδὴ φίλος ὑπάρχει ὁ Διάβολος, παραδίδει αὐτῷ ὡς φίλῳ τὰ τέκνα αὐτοῦ καὶ τὰ πράγματα. καὶ λοιπὸν ὡς ἔνι φανερὸν καὶ πεπιστευμένον, οὐκ ἔστιν ἐπὶ γῆς πρᾶγμα ἠγαπημένον πλὴν τὸ παιδίον τοῦ ἀνθρώπου· καὶ ἐὰν εἶδέ τιναν ἄνθρωπος ὑβρίζοντα τὸ παιδίον αὐτοῦ, ἔμελλε ταραχθῆναι καὶ σκανδαλισθῆναι, εἰ καὶ ἡ ἀτιμία καὶ ἡ ὕβρις οὐ βλάβει τὸν ἄνθρωπον· καὶ ὁ ἄνθρωπος θεληματικῶς καὶ αὐτοπροαιρέτως παραδίδει τὸ

---

*titulus:* παριδόντων Mc 5 +οἶ+ ) εἶδεν Mc 8 τὰ ζῷα καὶ τὰ παιδία Mc 19 ἔνει MbV 24 βλάπτει Mc

παιδίον αὐτοῦ τῷ Διαβόλῳ. ἐλεεινὲ ἄνθρωπε· ἐὰν τὸ παιδίον σου ἐπόθανεν ἀβάπτιστον, ἔμελλεν ἵνα ἀπέλθῃ εἰς κόλασιν, καὶ ἔμελλεν ἵνα κλαίῃς καὶ δακρύειν· διότι ἐχάθην ἡ ψυχὴ τοῦ παιδίου, καὶ ὑπάγειν εἶχες εἰς πατέρα πνευματικὸν ἐξομολογηθῆναι καὶ κανονισθῆναι καὶ δουλεύειν τὸ κρῖμα, ὁποῖον ἐγένετο χωρὶς θελήματός σου, ἀλλὰ παραχωρήσει Θεοῦ. καὶ σύ, ἐλεεινὲ ἄνθρωπε, δίδεις αὐτὸ θεληματικῶς τοῦ Διαβόλου; πρῶτον γοῦν, τὸ παγένεις εἰς τὴν ἐκκλησίαν καὶ βαπτίζεται καὶ σφραγίζεται καὶ παραδίδεις αὐτὸ τοῦ Χριστοῦ· καὶ κουρεύει αὐτὸ ὁ ἱερεύς, καὶ δίδει αὐτῷ τὸ σημεῖον τοῦ Χριστοῦ· καὶ συντάσσεται τῷ Χριστῷ, καὶ ἀποτάσσεται τῷ Διαβόλῳ. καὶ ἀφοῦ το ἔδωκες τῷ Χριστῷ, τότε γοῦν ἐπαίρεις αὐτὸ καὶ τῷ Διαβόλῳ τὸ παραδίδεις; καὶ λοιπόν· ἐπειδὴ σὺ ὁ γονὴς δίδεις αὐτό, πῶς ἐκεῖνος ἵνα μὴ παραλάβῃ αὐτό, ὅστις πάσχει ἡμέραν καὶ νύκτα, ἵνα φάγῃ τὸν ἐλεεινὸν ἄνθρωπον, καὶ ἄλλην τέχνην οὐκ ἐργάζεται εἰμὴ αὐτὴν καὶ μόνην; καὶ λοιπὸν ἐσκότισεν ἡμᾶς ὁ Διάβολος καὶ ἐτύφλωσεν, καὶ οὐ βλέπομεν παντελῶς τὴν κακὴν ὁδόν, ἣν περιπατοῦμεν· καὶ ἔβαλεν ἡμᾶς εἰς τὸ θέλημα αὐτοῦ· καὶ ἀπεχώρισεν ἡμᾶς ἀπὸ τὸν Θεόν, καὶ ἐποίησεν ἡμᾶς φίλους αὐτοῦ καὶ τέκνα αὐτοῦ. καὶ

---

27 ἀπέθανεν V 28 ἀπέλθει Mc ἀπέλθῆ V κλαίεις MbMc κλέ$^{αι}$εις V 30 ὑπάγεις εἶχες V εἰς om. Mb 33 παραχωρίσει MbV 34 δίδης MbMc δίδης *a.c.* δίδεις *p.c.* V αὐτὸ ) αὐτῶ MbV 35 παγένεις ) ὑπάγεις V ἐν τῇ ἐκκλησίᾳ Mb 36 καὶ σφραγίζεται om. V 42 δίδης Mb δίδως McV 44 φάγει MbV 46 ἐσκότησεν codd. 49 ἀπεχώρησεν V

τὸ λοιπὸν πᾶς ἄνθρωπος ἄς το βάλῃ εἰς νοῦν, εἰς τί κατάστασιν ἤλθαμεν ἵνα χωριζώμεθα θεληματικῶς τὸν Θεόν, καὶ τῷ Διαβόλῳ ἵνα παραδιδώμεθα - κρῖμα ἀβάστακτον καὶ φορτίον δυσβάστακτον καὶ ἀνόμημα μέγιστον - καὶ τί ἐλπίδας ἔχομεν εἰς Θεόν, οἱ ἄθλιοι, ποῖον θάρρος; ὦ ταπεινοὶ ἄνθρωποι καὶ ἐλεεινοί· τί βουλόμεθα καὶ τί ἔνι τὸ μένομεν; πῶς ἐμακρύναμεν τοῦ Θεοῦ; πῶς ἐκολλήθημεν τῷ Διαβόλῳ; πῶς οὐκ ἔχομεν ἔννοιαν θανάτου καὶ τὴν φοβερὰν ἡμέραν τῆς κρίσεως; ὦ ἀνόητε ἄνθρωπε, πῶς σε γελᾷ ὁ ἐπίβουλος οὗτος κόσμος· ἀνάβλεψε τοὺς ὀφθαλμούς σου καὶ ἴδε· ποῦ οἱ γονεῖς σου; ποῦ οἱ γείτονες; ποῦ οἱ φίλοι ἡμῶν οἱ ἠγαπημένοι; οὐκ ἦσαν καὶ αὐτοὶ εἰς τὸν πλάνον κόσμον τοῦτον; νῦν δέ, ποῦ ἦν; εἰς ποῖον κόσμον εὑρίσκονται; ἐξῆλθον ἀφ' ἡμῶν ὡς ξένοι καὶ πάροικοι. καὶ λοιπὸν ἐκείνην τὴν ὁδὸν ἔχομεν καὶ ἡμεῖς πορευθῆναι. οὐ βλέπομεν τὸν κόσμον τοῦτον, πῶς τρέχει ὡς νέφος ὑπὸ ἀνέμου βιαζόμενον καὶ ὡς πτερὸν πετώμενον εἰς ἀέρα. καὶ λοιπὸν ὁ σήμερον νέος, αὔριον γέρων· ὁ σήμερον πλούσιος, αὔριον πτωχός· ὁ σήμερον ἐν ὑγείᾳ, αὔριον ἀσθενής· ὁ σήμερον ἐν τοῖς ζῶσιν, αὔριον εἰς τὸν τάφον. τί σε πλανᾷ ὁ κόσμος οὗτος, ἐλεεινὲ ἄνθρωπε; τί χαίρεσαι τὴν

---

51 βάλλει codd. 52 χωριζόμεθα codd. 53-54 παραδιδόμεθα Mc 54-55 δισβάστακτον MbV 56 ἔχωμεν MbMc 58 ἔνει codd. πῶς ἐμακρύναμεν τοῦ Θεοῦ om. Mb 59 πῶς ἐκολλήθημεν τῷ Διαβόλῳ om. Mc 62 κόσμος οὗτος Mc 65 τοῦτον κόσμον V 70 πετόμενον Mb 71 καὶ λοιπὸν ὁ σήμερον νέος om. MbV 72 ὁ[1] om. Mb 75 χαίρεσε codd.

κακὴν χαρὰν τοῦ κόσμου τούτου; πᾶσα γὰρ χαρὰ ἡ ἀναμένουσα θλῖψιν, κακὴ καὶ δεινή ἐστι χαρά· πᾶσα δὲ θλῖψις ἡ ἀναμένουσα χαράν, ἐκείνη πάντα προσδοκᾷ καὶ τὴν χαρὰν ἀναμένει. βούλεσθε χαρῆναι χαρὰν ἀληθινήν; ὕπαγε εἰς τὴν ἐκκλησίαν. ἄκουσον λόγον Θεοῦ· ἄκουσον τοῦ ἀποστόλου· ἄκουσον εὐαγγελίου· ἄκουσον τῶν ἁγίων τοὺς βίους· ἄκουσον τῶν ἱερέων ψαλλόντων· καὶ χαῖρου καὶ εὐφραίνου χαρὰν ψυχικήν· αὕτη ἐστὶν ἡ ἀληθινὴ χαρὰ καὶ εὐφροσύνη ἡ πνευματική. ἐκεῖ χαίρεται ὁ Θεός· ἐκεῖ εὐφραίνονται οἱ ἅγιοι ἄγγελοι· ἐκεῖ σκιρτῶσιν τῶν δικαίων τὰ πνεύματα· ἐκεῖ χορεύουσι μάρτυρες· ἐκεῖ ἀγάλλονται ὅσιοι. καὶ τί πολλὰ λέγω; ἐκεῖ ἐστιν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ ἡ ὑπεραγία Θεοτόκος, τὸ ἄκρον τῶν αἰωνίων ἀγαθῶν, ἡ πηγὴ τῆς σωτηρίας ἡμῶν. καὶ πάλιν· ὅπου εἰσὶ γέλια καὶ παίγνια καὶ κιθάραι καὶ λύραι καὶ καὶ χοροὶ καὶ τραγῳδίαι καὶ ὀρχήσεις καὶ ᾄσματα δαιμονικὰ καὶ ἀργολογίαι καὶ μέθαι· ἐκεῖ ἐστι τοῦ Διαβόλου ἡ πανήγυρις καὶ τῶν δαιμόνων ἡ χαρὰ καὶ ἀγαλλίασις· καὶ οἱ ταῦτα ποιοῦντες εἰς τὸ πῦρ τὸ αἰώνιον ἀπελεύσονται. οἱ δὲ ἀγαπῶντες τὴν ἐκκλησίαν καὶ τὰς ἀναγνώσεις καὶ τιμῶντες τὰς ἑορτὰς τῶν ἁγίων καὶ τῆς Θεοτόκου, ἀνοίγεται ἡ βασιλεία τῶν οὐρανῶν, ἵνα

---

77 χαρὰν Mb 78 πᾶσα δὲ θλῖψις ) πᾶσα γὰρ χαρὰν Mb post ἀναμένουσα V sic pergit θλῖψιν, κακὴ καὶ δεινή ἐστι χαρά· πᾶσα γὰρ χαρὰ ἡ ἀναμένουσα χαράν, ἐκείνη ... κτλ. 79 καὶ ) εἰς MbV βούλεσθαι codd. 81 τῶν ἀποστόλων Mc 83 χαῖρε Mb 92 πέγνια codd.

εὐφραίνωνται εἰς αἰῶνα αἰῶνος. διὸ παρακαλῶ ὑμᾶς, τέκνα μου ἠγαπημένα, ἵνα τὴν κακὴν συνήθειαν ἀπορρίψαντες βάλλωμεν ἀρχὴν ἀγαθήν. γέγραπται γάρ· ἔ κ κ λ ι ν ο ν ἀ π ὸ κ α κ ο ῦ κ α ὶ π ο ί η σ ο ν ἀ γ α θ ό ν. καὶ μὴ ἄλλως ποιήσητε, παρακαλῶ, ἵνα καὶ τῶν αἰωνίων ἀγαθῶν ἐπιτύχητε χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα καὶ τὸ κράτος, ἡ εὐχαριστία καὶ ἡ προσκύνησις σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

101 εὐφραίνονται MbV ἡμᾶς MbMc 103 βάλλομεν codd. 105-6 ποιῆτε Mc 106-7 ἐπιτύχειτε Mc 110 αὐτοῦ supplevi Mb *h.l.* σου 111 τῶν αἰώνων om. MbV

*104-5 Ps. 33 (34), 15 (cf. I Pe 3, 11)*

Sermo IX (De sancta dominica). Mc ff. 124v-129r.

(περὶ τῆς ἁγίας Κυριακῆς)

Βουλοίμην, ἀδελφοί μου καὶ τέκνα, ἀναφέρειν ὑμῖν καὶ ἀναμνῆσαι περὶ τῆς ἁγίας Κυριακῆς· ἐπειδὴ βλέπω ὑμᾶς τὴν ἁγίαν Κυριακὴν ἔχοντας μεγάλους περισπασμοὺς καὶ δουλείας ἀναγκαίας, εἰς ξύλα, εἰς μύλους καὶ ἄλλα πολλὰ ἔργα, τὸ ὁποῖον οὐδὲν ἔχει ὁ Χριστιανὸς ἄδειαν τὴν ἁγίαν Κυριακὴν καὶ τοῦ περιπατῆσαι. καὶ ἐπειδὴ οὐκ ἔχει ἄδειαν τοῦ περιπατῆσαι, πόσῳ μᾶλλον ἐργάζεσθαι; ἀκούσατε τί λέγει ὁ μέγας Χρυσόστομος ὁ φωστὴρ τῆς οἰκουμένης· ὅτι πᾶς ἄνθρωπος ποιήσει ἔργον τὴν ἁγίαν Κυριακὴν ἐπικατάρατός ἐστιν ὁ ἄνθρωπος ἐκεῖνος καὶ ὁ οἶκος αὐτοῦ καὶ τὰ πράγματα αὐτοῦ καὶ τὰ τέκνα αὐτοῦ. καὶ ὅστις οὐ σχολάζει ἀπὸ ἐνάτης ὥρας ἕως δευτέρας ἀνατέλλοντος τοῦ ἡλίου οὐκ ἔστι Χριστιανός, ἀλλὰ Ἑβραῖος καὶ ἐχθρὸς τοῦ Θεοῦ. καὶ ἴδετε, ἀδελφοί, τὸ ἐπικατάρατον γένος τῶν Ἑβραίων πῶς τηροῦσι τὸ Σάββατον· ὅτι οὐδὲ ἓν ἔργον ποιοῦσι τὴν ἡμέραν τοῦ Σαββάτου κατὰ τὴν παράδοσιν τοῦ Μωϋσῆ εἰμὴ μόνον εἰσέρχονται εἰς τὰς μαγίδας αὐτῶν προσευχόμενοι· ὅτι ἀφ' ἑσπέρας τὴν παρασκευὴν διορθώνουσι τὴν τράπεζαν αὐτῶν τοῦ Σαββάτου, ἵνα μὴ τῷ Σαββάτῳ περισπασμὸν ἔχωσιν, ἀλλ' ἡσύχως καὶ ἀπερισπάστως τὴν ἡμέραν τοῦ Σαββάτου περάσωσιν. καὶ σὺ Χριστιανὸς ὀρθόδοξος καὶ ἐπαρέλαβες ὑπὸ τῶν

---

*tit.* om. Mc 1 (β)ουλήμην Mc 5 τὸ ποῖον Mc

*9 ff. Chrysostomus: cf. Pseudo-Chrysostomus, Sermo de die dominica; Mb ff. 24r-26v, V ff. 205r-208v.* (passim)

ἁγίων ἀποστόλων μηδὲ περιπατεῖν τῇ ἡμέρᾳ τῆς ἁγίας Κυριακῆς εἰμὴ μόνον εἰς τὴν ἐκκλησίαν εἰσελθεῖν. καὶ σύ, ἐλεεινὲ ἄνθρωπε, τολμᾷς τὴν ἁγίαν Κυριακὴν ἐργάζεσθαι; οὐκ οἴδατε ὅτι τὴν ἁγίαν Κυριακὴν ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐκ νεκρῶν ἀνέστη καὶ τὸν Διάβολον ἔδησε; οὐκ οἴδατε ὅτι τὴν ἁγίαν Κυριακὴν εὐηγγέλισε ὁ ἄγγελος τὴν Θεοτόκον, καὶ τὴν ἁγίαν Κυριακὴν ἔρχεται ἐκ τῶν οὐρανῶν ἵνα κρίνῃ τὴν οἰκουμένην; οὐκ οἴδατε ὅτι αὐτὸς ὁ Κύριος ἡμῶν ἐν ταῖς ἓξ ἡμέραις ἐποίησεν ὅλα τὰ ἔργα αὐτοῦ· τὸν οὐρανόν, τὴν γῆν, τὴν θάλασσαν, τὸν ἄνθρωπον, τὰ θηρία, τὰ ἑρπετά, τὰ πετεινά, τὰ δένδρα καὶ ὅλα ὅσα ἐποίησεν; τὴν Κυριακὴν ἐσχόλασεν καὶ κατέπαυσεν ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ καὶ εἶπε· σχολάσατε καὶ γνῶτε ὅτι ἐγώ εἰμι ὁ Θεός. εἰπέ μοι, ἀδελφέ, ἀπὸ τί χωρίζει ὁ Χριστιανὸς καὶ φαίνεται ὅτι Χριστιανός ἐστι εἰμὴ ἀπὸ τῶν ἔργων αὐτοῦ; τί διαφέρει, εἰπέ μοι, τοῦ Ἑβραίου; ἐκεῖνος Ἑβραῖος ὢν ἐργάζεται τὴν Κυριακήν, καὶ σὺ Χριστιανὸς ὢν ἐργάζεσαι τὴν Κυριακὴν ὥσπερ τὸν Ἑβραῖον. τὸ λοιπὸν οὐκ ἔστι διαφορά· ὁ Ἑβραῖος, ὁ νόμος οὐ σχολάζει αὐτὸν καὶ λοιπὸν οὐδὲν τὸ ἔχει εἰς βάρος. σὺ δὲ Χριστιανὸς ὢν σχολάζει σὲ ἡ ἐκκλησία καὶ καταρᾶταί σου, ὡς προεῖπον· ὅτι ἐπικατάρατος ὁ ἄνθρωπος ἐκεῖνος ὁ ἐργαζόμενος ἀπὸ ἐνάτης ὥρας τοῦ Σαββάτου ἕως δευτέρας ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἐπικατάρατος ὁ οἶκος ἐκεῖνος, ὃς βάλλει ἔσω του ἔργον Κυριακῆς. τὸ

---

*40-42 Ps. 45, 11*

λοιπὸν φαίνεται ὅτι ὁ Ἑβραῖος κάλλιος γίνεται παρὰ τὸν λέγοντα ὅτι ὁ Χριστιανός ἐστι, καὶ τὰ ἔργα οὐ ποιεῖ τὰ τοῦ Χριστιανοῦ. ἐπειδὴ ἐκεῖνος, ὃ παρέλαβεν ἐξ ἀρχῆς ἀπὸ τοῦ Μωϋσῆ , κρατεῖ αὐτὸ ἀπαρασάλευτον· σὺ δὲ Χριστιανὸς ὢν ἐχάλασες τὸν νόμον σου καὶ τὸ σέβας σου ἐκαταφρόνησες. καὶ τὸ λοιπόν· ἐπειδὴ ἐχάλασες τὸν ὁρισμὸν τῶν ἁγίων καὶ τὴν ὁδὸν τοῦ Θεοῦ, καὶ λοιπὸν οὐκ εἶ Χριστιανός, ἀλλὰ μισόχριστος καὶ εἰδωλολάτρης καὶ τοῦ Θεοῦ ἐπίβουλος. ἐλεεινοὶ ἄνθρωποι· τόσον ἐκαταφρονήσατε τὸν Θεὸν καὶ εἰς ἀφοβίαν ἐπέσατε, ὅτι τὴν ἁγίαν Κυριακὴν ἀποσυνάγετε τὰ θεριστά σας ἐν τῷ ἅλωνι; οὐ λέγει ὁ ἅγιος ὅτι· κατηραμένος ὁ οἶκος ὑπάρχει ἐκεῖνος ὁ ὑποδεχόμενος Κυριακῆς ἔργον. καὶ σὺ ἀποσυνάζεις τὴν σποράν σου τὴν ἡμέραν τῆς ἁγίας Κυριακῆς; ἔτι δὲ τὰ ὠνικά σου δίδεις ἀλλοῦ κατ' ἐκείνην τὴν ἡμέραν ὡς δῆθεν μισθὸν ποιεῖς. ἐγὼ δὲ λέγω ὑμῖν· σὺ πρῶτος παραλαμβάνεις τὴν ἀνομίαν καὶ δεύτερον προξενεῖς καὶ αὐτὸν τῆς κολάσεως, καὶ ἔχεις διπλὸν τὸ κακὸν καὶ τὴν ἁμαρτίαν. καὶ ἐπειδὴ ἐκαταφρονήσαμεν τὸν Θεόν, ἐπῆρεν ὁ Θεὸς τὴν χεῖρα αὐτοῦ ἀφ' ἡμῶν καὶ ἐπέσαμεν εἰς πᾶν κακόν, καὶ ὠργίσθη ἡμῖν ὁ Θεὸς καὶ εἰς τὰ πίσω ἐρχόμεθα. καὶ ἐπληρώθη ἐφ' ἡμῶν τὸ ῥητὸν τοῦ προφήτου Δαυὶδ ὅτι· μετεστράφη ἡ γῆ ἡ δροσώδης εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. ποῦ ἦν οἱ καιροὶ καὶ οἱ χρόνοι οἱ εὐλογημένοι, οὓς εἶδον ἐγὼ ὁ

---

66 ἐκαταφρονήσαμεν Mc 70-71 ἀποσυνάσεις Mc
*81-84 cf. Ps. 106, 34*

ταπεινός, οἱ εὐθυμίας πεπλουτισμένοι καὶ χαρᾶς καὶ ἀγαλλιάσεως; καὶ γὰρ τότε ἡ 'Ιεράπετρος ὀρφανοτρόφος ἐκαλεῖτο καὶ ἐλέγετο· νῦν δὲ πῶς κατῆλθεν εἰς ὀλίγον καὶ εἰς ἀφανισμὸν καὶ ἐσχάτην πτωχείαν. καὶ τοῦτο οὐ γέγονεν εἰμὴ ὑπὸ τῆς κακίας καὶ πονηρίας ἡμῶν. ἀφ' ὅτου δὲ ἐπέρασαν οἱ παλαιοὶ καὶ καλοὶ ἄνθρωποι οἱ φοβούμενοι τὸν θεόν, καὶ ἔσωσεν ἡ ὕστερος ἑκατοντάς· ἤλλαξαν οἱ ἄνθρωποι καὶ τὰ ἤθη καὶ αἱ φορεσίαι τῶν ἀνθρώπων καὶ ἡ γνώμη καὶ ἡ ὑπόληψις καὶ ἡ ἀνθρωπότης. καὶ ἐγένετο ἄλλος κόσμος καὶ ἄλλη γνώμη καὶ ἄλλη κατάστασις, καὶ ὀλίγον τὸ κατ' ὀλίγον ἐξέκλινεν ὁ λαός, καὶ οὔτε τῆς ἐκκλησίας ἀκοῦσαι θέλουν οὔτε διδασκάλου, οὐδὲ συμβουλὴν καλοῦ ἀνθρώπου καὶ γέροντος, ἀλλὰ μᾶλλον ληροῦσι τοὺς γέροντας καὶ καταφρονοῦσιν. καὶ παίζουσιν ὡς δῆθεν αὐτοὶ φρονιμώτεροι ὑπάρχουσιν καὶ λογίζονται ὅτι ὁ κόσμος καὶ οἱ ἄνθρωποι οὕτως ἦσαν ἐξ ἀρχῆς, ὥσπερ ἦν σήμερον. ἀλλ' ὥσπερ συμφέρει ὁ ἥλιος μὲ τὸν μικρότερον ἀστέρα τοῦ οὐρανοῦ, οὕτως ὁμοιάζουσιν οἱ ἄνθρωποι τοῦ νῦν καιροῦ μὲ τοὺς παλαιοὺς ἀνθρώπους τοὺς εὐλογημένους τοὺς φοβουμένους τὸν θεόν. ποῦ ἦν εἰς ἐκείνους σκάνδαλον ἢ ἔχθρα ἢ μνησικακία; ἀλλὰ ἀγάπη ἄδολος καὶ πληροφορία καὶ χαρὰ καὶ ἀγαλλιασις καὶ ἔσω ἀγάπη καὶ ἔξω ἀγάπη, καὶ ἔσω φιλία ἄδολος καὶ ἔξω φιλία πληροφορημένη. νῦν δὲ βλέπω ὅτι, ἐὰν καθίσωσιν τρεῖς ἄνθρωποι συνομιλῆσαι, τοῦ ἑνὸς ὁμιλεῖ καὶ τοῦ ἑτέρου +κανίζει+ καὶ νεύει. καὶ ἐὰν καθίσωσιν τρεῖς ἢ

τέσσαρες ἄνθρωποι ποιῆσαι παράκλησιν μετὰ ἀγάπης εἰ μὴ σκανδαλίσθωσιν καὶ κατακόπωσιν. καὶ λοιπὸν οὐκ ἔστι πλέον ἀγάπη· οὐκ ἔστι Θεός, καὶ ὅπου οὐκ ἔστιν ἀγάπη ἐκεῖ ὁ Διάβολος· καὶ ὅπου ὁ Διάβολος οὐκ ἔστι Θεός. τὸ λοιπόν, ἀδελφοί μου καὶ τέκνα, μισήσατε τὸν ἐχθρὸν ἤγουν τὴν κακίαν, καὶ ἀγαπήσατε τὸν Χριστόν· ὁ γὰρ Χριστός ἐστιν ἀγάπη. καὶ ὁ μένων ἐν τῇ ἀγάπῃ μὲ τὸν Θεὸν μένει καὶ ὁ Θεὸς ἐν αὐτῷ μένει. καὶ ὁ μένων ἐν τῇ μνησικακίᾳ μὲ τὸν Διάβολον καὶ ὁ Διάβολος μετ' αὐτόν. πάλιν περὶ τῆς ἁγίας Κυριακῆς τὸν λόγον ἐπανήλθομεν. λέγω δὲ ὑμῖν, τέκνα, ἵνα τιμᾶτε καὶ προσέχετε τὴν ἡμέραν τῆς Κυριακῆς, ὡς πρέπει Χριστιανοῖς, καὶ ταῖς σχόλαις τῶν ἁγίων, οἵτινες ἐκοπίασαν καὶ ἐδούλευσαν πολλὰ τοῦ Θεοῦ, καὶ ἔχουσιν παρρησίαν μεγάλην ἔμπροσθεν τοῦ Θεοῦ, ἵνα παρακαλέσωσι δι' ἡμᾶς τοὺς ἁμαρτωλούς. καὶ μὴ καταφρονήσατε τὰ λεγόμενα, ἀλλὰ ποιήσατε, καὶ μὴ καταφρονήσατέ με τὸν ταπεινὸν καὶ ἁμαρτωλόν, ἀλλὰ δῶτέ μοι χαρῆναι ἐφ' ὑμᾶς καὶ εὐφρανθῆναι πῶς βλέποντα ὑμᾶς ποιοῦντας τὸ θέλημα τοῦ Θεοῦ καὶ τὰς παραγγελίας τῶν ἁγίων αὐτοῦ. ποιήσατε, ἃ λέγω ὑμῖν, παρακαλῶ, καὶ ἔχω ἐλπίδας εἰς τὸν Θεόν, ἐὰν ποιήσητε, ἃ λέγω, ἵνα τύχητε τῆς βασιλείας τῶν οὐρανῶν καὶ ἴσως καὶ ἐγὼ ὁ ἁμαρτωλὸς διὰ τὴν σωτηρίαν ὑμῶν ἀπὸ τῆς μεγάλης κολάσεως τῆς μενούσης μὲ εἰς μικροτέραν εἰσέλθω. τῷ δὲ Θεῷ ἡμῶν εἴη δόξα καὶ τὸ κράτος, ἡ τιμὴ καὶ ἡ προσκύνησις εἰς ἀπεράντους αἰῶνας. ἀμήν.

Sermo X (Devreesse/Mioni 9.) Mb ff. 11v-14r, Mc ff. 129r-132v, V ff. 190r-192v.

Περὶ μνησικακίας.

Βούλομαι πάλιν, ἀδελφοί μου καὶ τέκνα, παρακινῆσαι λόγον μικρὸν πρὸς ὑμᾶς, καὶ μὴ βαρυνθῆτε, παρακαλῶ, ὅτι ὀλίγον καὶ μικρόν ἐστι τὸ βούλομαι λαλῆσαι ὑμῖν. λέγει γὰρ ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ὅτι· ἐὰν ὅλον τὸν κόσμον κερδίσῃ ὁ ἄνθρωπος καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ, τί τὸ ὄφελος; λοιπὸν πολλὰ πράγματά εἰσι τὰ ἀπολοῦντα τὴν ψυχὴν τοῦ ἀνθρώπου, ἀλλὰ ἴσον τῆς μνησικακίας οὐκ ἔστι. ὁ γὰρ ἔχων μνησικακίαν μετὰ τοῦ γείτονος αὐτοῦ, οὔτε τὴν προσευχὴν αὐτοῦ δέχεται ὁ Θεός, οὔτε τὴν λειτουργίαν αὐτοῦ οὔτε τὴν ἐλεημοσύνην, ἀλλ' ἀποστρέφεται αὐτὰ καὶ οὐκ ἀποδέχεται, ἀλλὰ μισεῖ τὸν ἄνθρωπον ἐκεῖνον καὶ ἀποστρέφεται, ὥσπερ αὐτὸς ἀποστρέφεται τὸν ἀδελφὸν αὐτοῦ καὶ πλησίον καὶ τὸν γείτονα. καὶ ὥσπερ οὐ συγχωρεῖ τοῦ πταίσματος αὐτοῦ, οὕτως οὐδὲ ὁ Θεὸς συγχωρεῖ αὐτοῦ, ἐὰν καὶ τὴν κεφαλὴν αὐτοῦ ἔθηκεν κοπῆναι διὰ τὸν Θεόν· οὐδὲ γάρ ἐστι βαρυτέρα ἁμαρτία ἐπὶ τῆς γῆς ὡς ἡ ἐπικατάρατος μνησικακία ἡ χωρίζουσα τὸν ἄνθρωπον ἀπὸ τὸν Θεόν. ἤξευρε, ἄνθρωπε ὁ ἔχων μνησικακίαν, ὅτι ἐὰν ἀποθάνῃς μὲ τὴν κακίαν, οὔτε ψαλμῳδίαι σοι ὠφελήσουν οὔτε μνημόσυνα οὔτε λειτουργίαι, οὔτε ἐλεημοσύναι οὔτε εὐχέλαια οὔτε παράκλησαις· οὐδὲ ἄλλος τόπος σὲ αναμένει ειμὴ ἡ κόλασις καὶ

---

*tit.* om. Mc 7-8 ἀπολοῦντα codd. an vol. ἀπολλύοντα ? 12 τὴν om. V 12-14 αὐτὰ καὶ ... ἀποστρέφεται om. Mb αὐτὰ καὶ ... ὥσπερ αὐτὸς ἀποστρέφεται om. V 17 καὶ om. Mc 24 οὔτε ἐλεημοσύναι om. Mc

*(5-7 cf. Mat 16, 26)*

τὸ πῦρ τὸ ἄσβεστον, ὁ σκώληξ ὁ ἀκοίμητος, ὁ τάρταρος, ὁ βρυγμὸς τῶν ὀδόντων. εἰ δὲ ποιήσεις ἀγάπην καθαρὰν μὲ τὸν ἀδελφόν σου, ὅσα ἂν ἁμαρτήματα ἔχῃς, θάρρος ἔχεις εἰς τὸν θεὸν ἵνα σου συγχωρήσῃ. καθὼς λέγει ὁ ἅγιος Ἰωάννης ὁ Δαμασκηνός· ἂν ἐλέησας, ἄνθρωπε, ἄνθρωπον, αὐτὸς μέλλει ἐκεῖ ἐλεῆσαι σε· ἂν τινα ἐν τῷ βίῳ ἐσκέπασας, αὐτὸς μέλλει ἐκεῖ σκεπᾶσαί σε· ἂν τινα ἐσυγχώρησας, αὐτὸς μέλλει συγχωρῆσαί σοι. ἂν τινα ἐξ ἀνάγκης ἔσωσας, αὐτὸς ῥύσεταί σε τῆς φοβερᾶς ἀνάγκης ἐκείνης. καὶ πάλιν τί λέγει ὁ Κύριος, ἔδωκεν ἀπόφασιν, λέγων· ἐὰν ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, ἀφήσει καὶ ὑμῖν ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος τὰ παραπτώματα ὑμῶν· ἐὰν δὲ μὴ ἀφῆτε τοῖς ἀνθρώποις τὰ παραπτώματα αὐτῶν, οὐδὲ ὁ πατὴρ ὑμῶν ὁ οὐράνιος ἀφήσει τὰ παραπτώματα ὑμῶν. ἠκούσατε τί λέγει ἐκεῖνον τὸ εὐλογημένον στόμα καὶ ἀψευδές; λοιπόν· βλέπετε τὴν φοβερὰν ἐκείνην ἀπόφασιν· ὅτι ἐὰν μὴ σὺ συγχωρήσῃς τοῦ πταίσαντός σοι, μὴ ἔχεις παντελῶς θάρρος ἵνα σου συγχωρήσῃ ὁ θεός. λοιπὸν τί βούλεσαι, ἐλεεινὲ ἄνθρωπε· τί ἀναμένεις; ἕως πότε οὐ ποιεῖς ἀγάπην καὶ συγχώρησιν μὲ τὸν ἀδελφόν σου καὶ γείτονα; οὐ φοβεῖσαι, ἐλεεινὲ ἄνθρωπε, μήπως ἔλθῃ ἐξαίφνης ὁ θάνατος καὶ ἁρπάσῃ σε καὶ πορευθῇς εἰς τὴν κόλασιν; καὶ τίς σε λυτρώσει τῆς ἀνάγκης ἐκείνης

---

29 ἔχῃς, θάρρος om. Mb

*38-45 Mat 6, 14-15*

τῆς φοβερᾶς; οὐδὲ εἷς. οὐδεὶς δύναται, οὔτε πατὴρ οὔτε μήτηρ, οὔτε ἀδελφὸς οὔτε ἀδελφή, οὔτε υἱὸς οὔτε θυγάτηρ. καὶ οὐαί σοι, ταλαίπωρε ἄνθρωπε˙ πόσα ἁμαρτάνομεν καθ' ἑκάστην ἡμέραν καὶ παροργίζομεν τὸν Θεὸν ἡμῶν. καὶ πάλιν οὐκ ὀργίζεται ἡμᾶς˙ πόσαις βλασφημίαις, πορνείαις, κλεψίαις, αἱμομιξίαις, ἀρσενοκοιτίαις, μαλακίαις, παιδοφθορίαις, μεθυσίαις, πλεονεξίαις, ἁρπαγαῖς, λοιδορίαις, ἀργολογίαις, γέλια, χορούς, τραγῳδίαις, ὀρχήσεις, κατακρίσεις, φθόνους καὶ ἄλλα μύρια καὶ ἀναρίθμητα ἁμαρτήματα, ἃ παροργίζομεν τὸν Θεὸν νύκτα καὶ ἡμέραν. καὶ πάλιν οὐκ ὀργίζεται ἡμᾶς οὐδὲ ἀποστρέφεται, ἀλλὰ ἀνατέλλει τὸν ἥλιον αὐτοῦ ἐπὶ δικαίους καὶ ἀδίκους καὶ βρέχει ἐπὶ ἁμαρτωλοὺς καὶ πονηρούς. σὺ δὲ ἐλεεινὲ ἄνθρωπε, διὰ μικρὸν σφάλμα τοῦ ἀδελφοῦ σου οὐ θέλεις συγχωρῆσαι αὐτῷ. καὶ πῶς σοι θέλει συγχωρήσειν ὁ Θεὸς τὰ βαρέα καὶ πολλά σου ἁμαρτήματα, ἃ πταίεις τοῦ Θεοῦ σου καθ' ἑκάστην ἡμέραν; οὐκ ἔχεις νοῦν ἀδελφέ, οὐκ ἔχεις γνῶσιν; τί μελετᾷς; ἕως πότε λογίζεσαι ἵνα περιπατῇς εἰς τὸν κόσμον τοῦτον; ἕως τὸ τέλος τοῦ κόσμου, καὶ πάλιν τέλος ἔχεις; ἐπλανήθης, ἐλεεινὲ ἄνθρωπε· ἐξέβης τοῦ νοός σου. οὐκ οἶδας τοὺς πρὸ σοῦ ἀνθρώπους πῶς ἔλαβον θάνατον, καὶ τὸν κόσμον τοῦτον ἀφῆκαν καὶ εἰς ἄλλον ἐπόρευθησαν; τί ἐκέρδησαν ἢ ἐπῆραν, εἰπέ μοι, ἀπὸ τὸν πεπλανημένον κόσμον καὶ βίον τοῦτον; ἢ τί ὠφέλησεν αὐτοὺς ἀλλὰ μᾶλλον ἔβλαψεν, λέγω δέ, τοὺς ἄφρονας καὶ ἀγνώστους; τοὺς δὲ

---

63 μαλακίαις, παιδοφθορίαις om. Mc 82-83 post εἰπέ μοι Mc pergit ἀπὸ τὸν κόσμον τοῦτον τὸν ἀφῆκαν, καὶ εἰς ἄλλον ἐπορεύθησαν˙ τί ἐκέρδησαν ἢ ἐπῆραν εἰπέ μοι ἀπὸ τὸν πεπλανημένον ... κτλ.

γνῶσιν ἔχοντας ἐκείνους ὠφέλησεν. ὧδε ἐποίουν τὸ θέλημα τοῦ Θεοῦ καὶ τὰς παραγγελίας αὐτοῦ. νῦν δὲ ἐκεῖ χαίρονται καὶ ἀγάλλονται, ἐπειδὴ ἤκουον τῶν ἁγίων γραφῶν καὶ ἐπείθοντο τῆς καλῆς συμβουλῆς καὶ ἀγαθῆς. ἐκεῖνοι δὲ οἱ μὴ πειθόμενοι τῆς ἁγίας τοῦ Θεοῦ ἐκκλησίας καὶ τῶν ἁγίων γραφῶν, ἐπορεύθησαν εἰς τὸν ἐλεεινὸν ἐκεῖνον τόπον τῆς κολάσεως. καὶ οὐαὶ αὐτοῖς ὅτι οὐκ ἔχουσιν ἄνεσιν, οὐδὲ ἔχει τέλος ἡ κόλασις αὐτῶν καὶ τὰ πικρὰ βάσανα. τὸ λοιπόν, ἀδελφοί μου, παρακαλῶ ἵνα μὴ ἔχετε ἔχθραν ἢ κακίαν εἷς ὑπὲρ τοῦ ἄλλου. βλέπετε αἱ γυναῖκες, μήποτε ἔχετε ἔχθραν ἢ κακίαν ἐν ταῖς καρδίαις ὑμῶν καὶ ἔρχεσθε ἀσυγχώρηται λαμβάνοντες τὴν ἁγίαν κοινωνίαν καὶ τὸ ἅγιον ἀντίδωρον. λέγω δὲ ὑμῖν· ὅστις ἐκεῖνος, ἢ ἄνδρας ἢ γυναῖκα, ἔχει ἔχθραν ἢ μνησικακίαν καὶ οὐ ποιήσει ἀγάπην καθαρὰν καὶ τρώγει ἀντίδωρον ἢ κοινωνεῖ, μὲ τὸν προδότην Ἰούδα μέλλει κριθῆναι. καὶ οὐαὶ αὐτῷ ὅτι τὸν Θεὸν καταφρονεῖ τὸν παραγγέλλοντα ἡμῖν ἵνα ἀγαπήσωμεν ἀλλήλους. καὶ λοιπὸν ὁ Θεὸς παραγγέλλει ἡμῖν ἵνα ἔχωμεν τὴν ἀγάπην· καὶ ὁ Διάβολος συμβουλεύει ἡμᾶς ἵνα ἔχωμεν τὴν κακίαν· καὶ ἡμεῖς ἀφήκαμεν τὴν παραγγελίαν τοῦ Θεοῦ καὶ ἀκολουθοῦμεν τοῦ Διαβόλου. καὶ μάθετε, ἀδελφοί μου, τὸν καρπὸν τῆς μνησικακίας· οὐ ποιεῖ ἄλλον καρπὸν ἡ μνησικακία εἰμὴ πόλεμον καὶ φόνον, ἐρημίαν πραγμάτων, ἀπώλειαν παιδίων καὶ πτωχείαν, καὶ φόβον αὐθεντίας, καὶ τὸ τέλος ψυχῆς τὴν ἀπώλειαν. ἄκουσον δὲ καὶ τῆς μακαρίας ἀγάπης

---

89-90 καλῆς συμβουλῆς ) κακῆς βουλῆς Mc
112 φόνον ) φθόνον Mc

τὸν καρπόν, καὶ τὸ τελος· ὁ ἔχων τὴν ἀγάπην, πρῶτον ἔχει τὸν Θεὸν φίλον καὶ τὸν Διάβολον ἐχθρόν, καὶ πάντοτε ἄφοβος πορεύεται· κτίζει φίλους· ἀγαπᾶται ὑπὸ πάντων· ἐπαινοῦν αὐτὸν ἅπαντες· τιμῶσιν αὐτὸν ἄρχοντες· ἡ αὐθεντία σέβεται αὐτὸν ὡς καλὸν ἄνθρωπον, καὶ πάντες εὔχονται αὐτῷ καὶ εὐχαριστῶσιν· καὶ τὸ τελευταῖον κληρονόμος γίνεται τῆς βασιλείας τῶν οὐρανῶν, ἧς γένοιτο πάντας ἡμᾶς ἐπιτυχεῖν χάριτι καὶ φιλανθρωπίᾳ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ᾧ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, πρὸς δὲ καὶ ἡ εὐχαριστία εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

Sermo XI (Devreesse/Mioni 10.) Mb ff. 14r-16r, V ff. 192v-195r.

Περὶ τῶν λεγόντων συνεχῶς τὸ ὄνομα τοῦ Διαβόλου.

Βούλομαι πάλιν ὁ ταπεινὸς ἐνθυμῆσαι ὑμᾶς, ἠγαπημένα μου τέκνα, περὶ τοῦ παρόντος καιροῦ καὶ τοῦ λαοῦ τοῦ σήμερον· ἐπειδὴ βλέπω τοὺς ἀνθρώπους τοὺς σήμερον, γέροντας καὶ νέους, ἄνδρας τε καὶ γυναῖκας καὶ τὰ νήπια βοῶντας καὶ λέγοντας τὸ τοῦ Διαβόλου ὄνομα, καὶ τὸ τοῦ Χριστοῦ ἅγιον ὄνομα ἐξέλειπεν ἀπὸ τὰς γλώσσας τῶν ἀνθρώπων καὶ τὸ τοῦ Διαβόλου ἐπλήθυνε· καὶ ἄνωθεν αὐτὸ καὶ κάτω ἀκούομεν ἡμέραν καὶ νύκτα. ἄλλο οὐκ ἔστιν εἰς τὰ τῶν ἀνθρώπων στόματα εἰμὴ τὸ Διάβολε, τὸ Ἀντίχριστε, τὸ Μισόκαλε, το Ἰούδα. καὶ λοιπὸν ὃν ἔχει τινὰς φίλον, ἐκεῖνον ὀνομάζει· ἐκεῖνον ἔχει ἐπὶ τοῦ στόματος. τὸν δὲ ἐχθρὸν αὐτοῦ οὐ θέλει ὀνομάσαι οὐδὲ ἀκοῦσαι τὸ ὄνομα αὐτοῦ. καὶ λοιπὸν φανερόν ἐστι τοῦτο ὅτι τὸν ἐχθρὸν αὐτοῦ οὐδεὶς ὀνομάζει, ἀλλὰ ἀποστρέφεται καὶ οὐ θέλει ἀκοῦσαι τὸ ὄνομα αὐτοῦ· καὶ τοῦ φίλου αὐτοῦ τὸ ὄνομα πάντοτε ἔχει αὐτὸ ἐν τῇ γλώσσῃ αὐτοῦ. καὶ τοῦτο βλέπω φρικτὸν μυστήριον, ἀδελφοί· ἐν τοῖς πρώτοις καιροῖς ἐκείνοις τοῖς εὐλογημένοις, οὓς ἔφθασα ἐγὼ ὁ ταπεινός, ἀπὸ τὴν λαμπρὰν καὶ ἁγίαν Κυριακὴν ἕως ὅλην τὴν Πεντηκοστὴν οὐκ ἤκουσέ τινας ἄλλο εἰμὴ μόνον τὸ Χριστὸς ἀνέστη· εἰς τὰς χαροκοπίαις, εἰς τὰ καπηλεῖα, εἰς τὰς ὁμάδας, εἰς τὰς ὁδοὺς καὶ πανταχόθεν, καὶ ἄνω καὶ κάτω, καὶ γέροντες καὶ νέοι, καὶ γυναῖκες καὶ νήπια καὶ ἅπας ὁ λαὸς αὐτὸ χαίροντες ἔλεγον, οἱ καθήμενοι, οἱ ἐργαζόμενοι, οἱ βόσκοντες, ὅλοι αὐτὸν τὸν εὐλογημένον λόγον διὰ στόματος εἶχον. ἐν δὲ

τοῖς χρόνοις τούτοις, ὢ τοῦ θαύματος, μόνον τὴν λαμπρὰν ἐκείνην καὶ ἁγίαν ἡμέραν ἀκούεται ἀπὸ τοῦ στόματος τοῦ ἱερέως. καὶ μετὰ τὴν ἡμέραν ἐκείνην οὐκ ἀκούεται πλέον παρά τινος ἢ μικροῦ ἢ μεγάλου, ἀλλὰ ἀφανίζεται ἐκ τοῦ μέσου. ἀλλὰ τὸ τοῦ Διαβόλου ὄνομα οὐδέποτε παύεται ἀπὸ τὰ στόματα τῶν ἀνθρώπων. ὢ μυστήριον φοβερόν· καὶ τίς νοῦν ἔχων οὐ κλαύσει καὶ οὐ θρηνήσει; πῶς ἀφῆκαν οἱ ἄνθρωποι τὸ ὄνομα τοῦ θεοῦ καὶ τὸ τοῦ Διαβόλου παρέλαβον; καὶ ἐὰν ἔλθῃ τινὰς εἰς βάρος ἢ σκάνδαλον, οὐ καταπαύει, οὐκ εὐφραίνεται, οὐ χορτάζεται, οὐκ ἐπιστρέφει ἡ καρδία αὐτοῦ, ἕως ἂν εἴπῃ τὸ ὄνομα τοῦ Διαβόλου· τότε γοῦν ἐπιστρέφει καὶ εὐφραίνεται, θεραπεύεται καὶ ὁ θυμὸς καταπαύει. καὶ εἶδες τέχνην τοῦ Διαβόλου· πρῶτον φέρει τὸ σκάνδαλον καὶ ταράσσει τὴν καρδίαν τοῦ ἀνθρώπου· καὶ τότε συμβουλεύει αὐτὸν εἰπεῖν τὸ ὄνομα αὐτοῦ. γίνεται αὐτοῦ σύντροφος καὶ γίνονται οἱ δύο εἷς· καὶ ὡς δῆθεν εὐφραίνεται καὶ δροσίζεται καὶ καταπαύει τὸν θυμόν. καὶ ποιεῖ αὐτὸν φίλον καὶ χωρίζει αὐτὸν τοῦ θεοῦ ὥσπερ τὸ ἐποίησε τοῦ Ἰούδα. καὶ τὸ λοιπὸν συνηθίζει αὐτὸς καὶ ἡ γυναῖκα αὐτοῦ καὶ τὰ παιδία. καὶ οὐκ ἔστιν ἄλλο εἰς τὸν οἶκον αὐτοῦ, οὐδὲ πολιτεύεται ἀπὸ τὸ ταχὺ ἕως ἑσπέρας εἰμὴ τὸ πονηρὸν καὶ ἀκάθαρτον ὄνομα τοῦ Διαβόλου. καὶ λοιπὸν ἐργάζεται ὁ ἄνθρωπος ἐκεῖνος καὶ κοπιᾷ· καὶ ἀπέμπροσθεν αὐτοῦ χάνονται· καὶ κατὰ συγχώρησιν θεοῦ ποτὲ καλὸν οὐκ ἔχει οὔτε ἀγαθόν. ἐλεεινὲ ἄνθρωπε· τί κερδαίνεις ὑπὸ τοῦ λόγου

---

40 ἔλθοι codd.

ἐκείνου τοῦ κακοῦ καὶ δολίου εἰμὴ μόνον τὸ κρῖμα. ἐὰν εἶχες κἂν σωματικὴν ὠφέλειαν καὶ κρῖμα ψυχικόν, εἶχες ἀφορμὴν λέγειν αὐτό· ἀλλ' ἐπεὶ οὔτε σωματικὴν ἔχεις ὠφέλειαν καὶ τῆς ψυχῆς βλάβος, τί ἀπολεῖς μόνον τὴν ψυχήν σου χωρὶς ὠφελείας καὶ χωρὶς μιᾶς αἰτίας; λοιπὸν φανερόν ἐστιν ὅτι ἐσκότισεν ἡμᾶς ὁ Διάβολος καὶ ἔβαλεν ἡμᾶς εἰς τὰ θελήματα αὐτοῦ˙ καὶ οὐκ ἔχομεν φῶς ἀναβλέψαι καὶ ἰδεῖν τὴν ὁδὸν τοῦ Θεοῦ. διὰ τοῦτο λέγω ἡμῖν, ἀδελφοί μου καὶ τέκνα, παύσατε, παρακαλῶ, τὸ ὄνομα τὸ αἰσχρὸν τοῦ Διαβόλου καὶ μὴ φέρετε αὐτὸν διὰ στόματος, ἀλλὰ μᾶλλον τὸ ὄνομα τοῦ Χριστοῦ καὶ τῆς Παναγίας καὶ τῶν ἁγίων ἐκεῖνα συνεχῶς λαλεῖτε καὶ λέγετε. καὶ ἐπιστρέψατε πρὸς τὸν Θεόν, μήπως ὀργισθῇ ἡμᾶς καὶ πέμψῃ ἐφ' ἡμᾶς τὴν ὀργὴν αὐτοῦ. οὐκ οἴδατε θανατικὰ καὶ τοὺς λοιμοὺς καὶ τὴν ἅλωσιν τῆς ἁγίας Πόλεως; πῶς ἡμᾶς ἐγκατέλιπεν ὁ Θεὸς διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας, καὶ ἔδωκεν τὴν ἐκκλησίαν ἡμῶν εἰς τὰς χεῖρας τῶν ἐχθρῶν ἡμῶν τῶν Μουσουλμάνων; ποῦ ἐκατεστάθημεν οἱ ταλαίπωροι; ποῦ ἐπέσαμεν οἱ ἄθλιοι; καὶ τοῦτο οὐ γέγονεν εἰμὴ διὰ τὰς πολλὰς ἡμῶν ἁμαρτίας˙ παιδεύει γὰρ ἡμᾶς ὁ Θεὸς παντοιοτρόπως, ἵνα ἐπιστρέψωμεν πρὸς αὐτὸν καὶ μετανοήσωμεν καὶ ἐκκλίνωμεν ἀπὸ τῆς ὁδοῦ ἡμῶν τῆς πονηρᾶς, ἀλλ' ἡμεῖς μᾶλλον αὐτὸν παροργίζομεν καὶ παραπικραίνομεν. καὶ γὰρ παιδεύει ἡμᾶς καὶ ἐκφοβεῖ διά τε λοίμης θανατικοῦ, διὰ λιμοῦ καὶ πείνης, διὰ ἐθνῶν, δι' ἀέρων φθοροποιῶν, διὰ σεισμῶν, ἀστραπῶν καὶ βροντῶν· ἀλλ' οὐδεὶς ὁ

---

85-86 πονηρᾶς ) πονηρίας V *in textu* *in marg.* -ρᾶς 88 θανατικῶν Mb

φοβούμενος. οἴδατε πῶς ζωογονεῖ τὰ σπέρματα καὶ τοὺς ἀμπελῶνας, καὶ ἔρχονται ἕως τῶν καρπῶν καὶ θάλλουσιν καὶ βλαστάνουσιν· καὶ ὡς ἐν μιᾷ καιροῦ ῥοπῇ διὰ τὴν κακίαν ἡμῶν καταποντίζει αὐτὰ καὶ ἀφανίζει καὶ μόνον τοὺς κόπους ἔχομεν, τοὺς δὲ καρποὺς οὐ λαμβάνομεν. καὶ ὥσπερ ὁ γονὴς ὁ ἔχων τέκνον παρήκοον καὶ ἀντίλογον καὶ ἔξω τοῦ θελήματος αὐτοῦ καὶ ποτὲ μὲν κολακεύει αὐτὸ ποτὲ μὲν δέρει αὐτὸ καὶ ποτὲ καὶ διώκει αὐτὸ ἵνα σωφρονήσῃ αὐτὸ καὶ βάλῃ αὐτὸ εἰς τὸ ἑαυτοῦ θέλημα, οὕτω καὶ ὁ Κύριος ἡμῶν παιδεύει ἡμᾶς παντοιοτρόπως· ἀλλ' ἡμεῖς πλεῖονα ἐκκλίνομεν εἰς τὰ πονηρὰ καὶ περὶ αὐτοῦ οὐ φροντίζομεν καὶ οὐ φοβούμεθα καὶ τὴν πολλὴν αὐτοῦ ἀγαθότητα καὶ μακροθυμίαν κινοῦμεν εἰς ὀργὴν καὶ ἀγανάκτησιν. καὶ λοιπὸν λέγει ὁ προφήτης· ὀ ρ γ ι σ θ ῇ ἡ μ ᾶ ς ὁ Κ ύ ρ ι ο ς. ἐπὰν δὲ ὀργισθῇ ὁ Κύριος, ποῦ πορευθῶμεν; ποῦ καταδράμωμεν; τίς ἡμᾶς βοηθήσει; ἐπιστρέψωμεν, ἀδελφοί, καὶ μετανοήσωμεν. δακρύσωμεν, ἐξομολογήσωμεν τὰς ἁμαρτίας ἡμῶν ἕως καιρὸν ἔχωμεν· πρὶν καταλάβῃ ἡμᾶς ὁ θάνατος, δράμωμεν ἕως τὸ φῶς ἔχωμεν· πρὶν ἡ νὺξ καταλάβῃ, ποήσωμεν ἐλεημοσύνην τὴν κατὰ δύναμιν, ποιήσωμεν τοὺς ἁγίους φίλους ἡμῶν. τὴν ἐκκλησίαν μὴ ἀμελήσωμεν, ἀλλὰ προσφέρωμεν τὰ δῶρα ἡμῶν μετὰ καλῆς προθυμίας· ἔλαιον καὶ κηρία καὶ λειτουργίαν τὴν κατὰ δύναμιν, ἵνα εὕρωμεν ἔλεον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῆς κρίσεως, καὶ τοῦ αἰωνίου ῥυσθῶμεν κολάσεως ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας. ἀμήν.

---

96 γωνὴς V γωνοῖς Mb 108 ποῦ πορευθῶμεν *bis* V
110 δακρύσωμεν om. V

Sermo XII (Devreesse/Mioni 11.) Mb ff. 16r-18v, V ff. 195r-198r.

τοῦ αὐτοῦ

Ἀκούσατε, τέκνα, μικροί τε καὶ μεγάλοι, γέροντες καὶ νέοι, ἄνδρες τε καὶ γυναῖκες. ἀκούσατε, παρακαλῶ, καὶ μὴ βαρυνθῆτε μηδὲ νυστάξετε. ἀκουσατέ μου τοῦ ἐλεεινοῦ καὶ ἁμαρτωλοῦ γέροντος, τέκνα μου ἠγαπημένα, καὶ μὴ παρακούσητε. ἐγὼ γὰρ εἰς τὸ τέλος τῆς ἐλεεινῆς μου ζωῆς ἔφθασα καὶ καθ' ἣν ἡμέραν ἐκδέχομαι τὸν θανατόν, ἵνα ἀποχωρισθῶ τῆς ἀγάπης ἡμῶν καὶ πορεύσωμαι τὴν ὁδόν μου εἰς τόπον, ἐν ᾧ οὐκ ἐπορεύθην ποτὲ καὶ εἰς χώραν ἀνεγνώριστον καὶ ἀσυνήθιστον. καὶ λοιπὸν ἀφήνω ὑμᾶς ὀρφανοὺς καὶ λυποῦμαι τὸν ἀποχωρισμὸν ὑμῶν τῶν ἠγαπημένων μου τέκνων. ἀλλ' ἐπειδὴ οὐδεὶς ἐγεννήθη κατὰ τὸν Δαυὶδ τὸν προφήτην τὸν λέγοντα· τ ί ς ἐ σ τ ι ν ἄ ν θ ρ ω π ο ς, ὃ ς ζ ή σ ε τ α ι κ α ὶ ο ὐ κ ὄ ψ ε τ α ι θ ά ν α τ ο ν, οὐδὲ ἐγὼ ὁ ταπεινὸς δύναμαι ἐκφυγεῖν τὸ ποτήριον ἐκεῖνον τὸ πικρὸν τοῦ θανάτου. καὶ ὁ καιρὸς ἤγγικε, τὸ πρόσταγμα ἔφθασε. καὶ λοιπὸν βούλομαι παραγγεῖλαι ὑμῖν μικρὰν παραγγελίαν, ἵνα ἔχετε αὐτὴν ἀντὶ ἐμοῦ καὶ ἐνθυμεῖσθέ μου τοῦ ταπεινοῦ καὶ παναθλίου γέροντος. παραγγέλλω ὑμῖν, τέκνα ἠγαπημένα, πρῶτον καὶ πάντων ἀρχὴν καὶ τιμιώτερον ἵνα ἀγαπᾶτε τὴν ἐκκλησίαν τοῦ Θεοῦ ὡς πρέπει Χριστιανοις· ὅτι ἡ ἐκκλησία ἔνι ὁ οἶκος τοῦ Θεοῦ καὶ

---

23 πρώτων V

*14-16 Ps. 88, 49*

ἐκεῖ κατοικεῖ ὁ Θεός. τὸ πρῶτον γὰρ θεμέλιον τοῦ Χριστιανοῦ οὐκ ἔστιν ἄλλο πλὴν ἡ ἀγάπη τῆς ἐκκλησίας· ὁ γὰρ ἀγαπῶν τὸν ναὸν τοῦ Θεοῦ τὸν Θεὸν ἀγαπᾷ. ἐκεῖ γὰρ βαπτίζεται ὁ ἄνθρωπος· ἐκεῖ κοινωνεῖ· ἐκεῖ στεφανοῦται καὶ εὐλογεῖται· ἐκεῖ θάπτεται· ἐκεῖ μνημονεύεται· ἐκεῖ ἔχομεν τὴν ἐλπίδα ὅλοι οἱ Χριστιανοί. τὸ δεύτερον παραγγέλλω ὑμῖν ἵνα ἔχετε τὴν ἀγάπην ἀλλήλως, ἐπειδὴ ὁ ἔχων τὴν ἀγάπην ὅλον τὸν νόμον πληροῖ. καὶ παρακαλῶ ὑμᾶς, τέκνα, μὴ κοιμηθῇ τινας σκανδαλισμένος ἢ μεμαχισμένος· ὅτι ὥσπερ ἐκεῖνος ὁ ἄνθρωπος ὁ ἔχων τὴν ἀγάπην ἔναι ἡνωμένος μὲ τὸν Θεὸν καὶ ἀχώριστος, οὕτως καὶ ὁ ἔχων ἔχθραν καὶ τὸ σκάνδαλον εἶναι ἡνωμένος μὲ τὸν Διάβολον καὶ ἀχώριστος τοῦ Διαβόλου, καὶ ἀναχωρεῖ ὁ ἀγαθὸς ἄγγελος ἀπ' αὐτοῦ καὶ μακρύνεται, καὶ ὁ Διάβολος πλησιάζεται αὐτῷ καὶ καταφιλεῖ αὐτὸν καὶ ἀσπάζεται ὡς γνήσιον δοῦλον αὐτοῦ. καὶ λοιπὸν παρακαλῶ ὑμᾶς, τέκνα μου ἠγαπημένα, ἀπέχετε ἀπὸ τὰ σκάνδαλα καὶ τὴν μνησικακίαν. τὸ τρίτον ἵνα ἀπέχετε ἀπὸ ξένον πρᾶγμα ἢ μικρὸν ἢ μέγα. λογίζονται γὰρ πολλοὶ ὅτι μόνον ὁ κλέπτων μεγάλωνος ἐκεῖνος ἔχει μόνον ἁμαρτίαν, καὶ ἐγὼ λέγω ὑμῖν· ὅστις ἀπὸ κρημνὸν πέσῃ καὶ ἀποθάνῃ - θέλει μέγας ὁ κρημνὸς θέλει μικρός - ἐκεῖνος ἀπέθανεν. καὶ λοιπὸν οὐδὲ ἕνα ἁμάρτημα εὑρίσκεται μικρὸν εἰς τὴν ψυχὴν τοῦ ἐλεεινοῦ ἀνθρώπου, ἀλλὰ ὅλα ἐμποδίζουν αὐτὴν καὶ μακρύνουν τοῦ Θεοῦ. λογίζεσθε ὅτι, ἐὰν σῦκον ἢ στάφυλα ἢ ἄλλο τίποτε πωρικὸν ξένον ἐπάρῃς, οὐκ ἔχεις ἁμαρτίαν. λέγω

---

46. μεγάλον V

ὑμῖν, τέκνα, ὅτι τὸ μικρότερον τὸ ἐπάρῃ ἄνθρωπος κρυφὰ καὶ φάγῃ αὐτό, γράφουν αὐτὸ οἱ δαίμονες, καὶ εἰς τὴν ἀνάβασιν τῆς ψυχῆς τότε ἔρχονται οἱ δαίμονες καὶ φέρουσι τὰ χειρόγραφα αὐτῶν καὶ δεικνύουσιν αὐτὰ τῶν ἁγίων ἀγγέλων, καὶ παρρησιάζονται καὶ ἁρπάζουσιν τὴν ψυχὴν ἀπὸ τὰς χεῖρας τῶν ἀγγέλων· ὅτι ἐκεῖ οὔτε πωλοῦν ἵνα τὸ ἀγοράσῃς νά το δώσῃς, ἀλλ᾽ οὔτε δανείζουν ἵνα δανεισθῇς καὶ δώσῃς αὐτό. ὑμεῖς δὲ καταφρονοῦντες ὡς μικρῶν, καὶ ἐκεῖνα μέλλουν εὑρεθῆναι τὰ μεγαλώτερα, ἐπειδὴ τὰ μεγάλα ἐξομολογεῖσθε καὶ ἐκεῖνα ὡς μικρὰ καταφρονεῖτε. λοιπὸν βλέπετε, τέκνα μου, παρακαλῶ καὶ ἀπὸ μικρῶν καὶ μεγάλων νὰ φυλάσσεσθε, τὸ τέταρτον, ἀπὸ πολὺν κρασὶν καὶ μέθην· ὅτι ὁ πολὺς οἶνος πολλοὺς καὶ ἀνθρώπους μεγάλους προκομμένους ἀπώλεσεν, καὶ ἄλλους ἔρρηξεν εἰς πορνείαν, ἄλλους εἰς κλεψίαν, ἄλλους εἰς σκάνδαλα καὶ φόνους· καὶ λοιπὸν πᾶν κακὸν ἀπὸ τῆς μέθης κινεῖται. καὶ λοιπὸν προσέχετε, παρακαλῶ, μὴ πίνετε τὸν οἶνον ἐν ἀκρασίᾳ. ἔτι παρακαλῶ ὑμᾶς μὴ ψεύδεσθε· ὅτι ἡ ἀλήθειά ἐστιν ὁ Χριστός· τὸ ψεῦδος ὑπάρχει ὁ Διάβολος. ἔτι παρακαλῶ ὑμᾶς τιμᾶν τοὺς ἱερεῖς καὶ προσέχειν ὡς θεοῦ δούλους καὶ ὡς θεοῦ λειτουργούς. πάλιν παρακαλῶ ὑμᾶς ἵνα προσφέρετε τὰ δῶρα τῆς ἐκκλησίας· λειτουργίας κατὰ δύναμιν, ἔλαιον καὶ κηροὺς κατὰ τὴν συνήθειαν καὶ τάξιν τῶν Χριστιανῶν, καὶ ποιεῖτε ἐλεημοσύνην τὴν κατὰ δύναμιν. καὶ μὴ εἴπῃ τινὰς ὅτι· οὐκ ἔχω. ὅτι ἡ χήρα ἐκείνη, ἡ ἔδωκε τὰ δύο

---

56 τέκνον Mb 64 αὐτῶ V ἡμεῖς codd. 65 μικροῦ V 69 ἀπὸ μεγάλων V

*(85 f. cf. Mar 12, 42-43. Luc 21, 2-4)*

λεπτά, ἐκείνη ποιεῖ ἡμᾶς ψεύδεσθαι, ἐπειδὴ πλείονα ἔχομεν ἡμεῖς ἢ ἐκείνη. ἐκείνη οὐκ εἶχεν πλεῖον εἰμὴ μόνον ἐκεῖνα καὶ οὐκ ἐκράτησεν κἂν ἀπὸ τὰ δύο τὸ ἕν, ἀλλ' ἔδωκε καὶ τὰ δύο· καὶ ἡμεῖς ἔχοντες ὑπὲρ ἐκείνην, πῶς δυνάμεθα λέγειν· οὐκ ἔχομεν δέ, ἀλλὰ πρὸ αἵρεσιν; πάλιν παρακαλῶ ὑμᾶς, τέκνα μου ἠγαπημένα, παύσατε τὴν βλασφημίαν· ὅτι ὁ βλάσφημος οὐκ ἔχει μέρος μετὰ τὸν Θεόν, οὐκ ἔχει ἐλπίδα σωτηρίας, ἀλλὰ ἡ μερὶς αὐτοῦ ὑπάρχει μετὰ τοῦ προδότου Ἰούδα. παύσατε τοῦ ἀργολογεῖν καὶ μετεωρίζεσθαι· ἐνθυμεῖσθε τὴν φοβερὰν ὥραν τοῦ θανάτου, τὸν χωρισμὸν τῆς ψυχῆς ἀπὸ τοῦ σώματος, τὸ κριτήριον τὸ ἀδέκαστον, τὴν ἀπόφασιν ἐκείνην τὴν φοβεράν, τὴν κόλασιν τὴν αἰώνιον· καὶ πάντοτε ἔχετε ἐκείνην τὴν ἔννοιαν καὶ ἐκείνην τὴν μέριμναν. καὶ μὴ τυφλώσει ὑμᾶς ὁ παρὼν βίος καὶ ὁ κόσμος οὗτος ὁ πρόσκαιρος. λέγει γὰρ ὁ προφήτης· ἄ ν θ ρ ω π ο ς, ὡ σ ε ὶ χ ό ρ τ ο ς α ἱ ἡ μ έ ρ α ι α ὐ τ ο ῦ· ὡ σ ε ὶ ἄ ν θ ο ς τ ο ῦ ἀ γ ρ ο ῦ, ο ὕ τ ω ς ἐ ξ α ν θ ή σ ε ι· ὅ τ ι π ν ε ῦ μ α δ ι ῆ λ θ ε ν ἐ ν α ὐ τ ῷ, κ α ὶ ο ὐ χ ὑ π ά ρ ξ ε ι κ α ὶ ο ὐ κ ἐ π ι γ ν ώ σ ε τ α ι ἔ τ ι τ ὸ ν τ ό π ο ν α ὐ τ ο ῦ. καὶ ἀληθῶς λέγει. ποῦ εἰσιν αἱ ἡμέραι καὶ οἱ χρόνοι, οὓς ἐπέρασα ἐγὼ ὁ ταλαίπωρος; καὶ γὰρ ἕως τοῦ νῦν λογίζομαι ὅτι ἔχω περασμένους χρόνους ἑβδομήκοντα καὶ ἐπέκεινα, καὶ ὡς ὄνειρός μου ζωὴ καὶ οἱ χρόνοι μου. ποῦ ἦν τὰ ἔπραξα; ἰδοὺ πέρας ἔλαβον, μόνον δὲ αἱ ἁμαρτίαι μου καὶ τὰ πολλά

---

91 προαίρεσιν V  100 ἔχετε om. Mb  110 καὶ οἱ χρόνοι om. V  115 ἔλαβον ... μου καὶ om. V

*103-109 Ps. 102, 15-16*

μου πλημμελήματα ἔμειναν. καὶ γὰρ ἐγὼ ἔτρωγον, ἔπινον, ἐσπατάλουν, ἐχαιρόμην καὶ ἐλογιζόμην, ὅτι ὁ κόσμος οὗτος αἰώνιος ὑπάρχει· ἐγὼ δὲ εὗρον αὐτὸν ψεύστην καὶ ἀπατεῶνα. ἄλλος ἀρχίζει καὶ ἄλλος τελειώνεται. χρυσάφιν δεικνύει καὶ μόλυβδος ἀποκαθίσταται. μέλιν σοι φαίνεται καὶ σφάκα τελειώνεται. φῶς φαίνεται καὶ σκότος καθίσταται. ζωὴ φαίνεται καὶ θάνατος γίνεται. νεότης φαίνεται καὶ γῆρας καὶ ἀδυναμία ἐπιφαίνεται. οὐαί σοι, κόσμε, καὶ τὰ ἀγαθά σου· οὐαί σοι, κόσμε, καὶ τὴν γλυκύτητά σου· οὐαί σοι κόσμε καὶ τὴν εὐθυμίαν σου. τί γὰρ καλὸν ἔχεις, πλάνε καὶ ἀπατεών; ἐπικατάρατος γάρ φησιν ἡ γῆ ἐν τοῖς ἔργοις τῶν χειρῶν σου· ἀκάνθας καὶ τριβόλους ἀνατελεῖ σοι, καὶ ἐν ὑδρότητι τοῦ προσώπου σου φάγεις τὸν ἄρτον σου ἕως τοῦ ἐπιστρέψαι εἰς τὴν γῆν, ἐξ ἧς ἐλήφθης. καὶ πληθύνων πληθυνῶ τὰς λύπας σου καὶ τοὺς στεναγμούς σου καὶ ἐν λύπαις τέξῃ τὰ τέκνα σου· καὶ πρὸς τὸν ἄνδρα σου ἡ ἀποστροφή σου τουτέστιν πρὸς τὸν ἄνδρα σου ἢ πρὸς τὴν γῆν ἡ ἀποστροφή σου. βλέπετε τοῦ κόσμου τούτου τὰ ἀγαθά· βλέπετε τὸ τέλος αὐτοῦ· βλέπετε τὸ κέρδος; μακάριος καὶ τρισμακάριος ὁ νοῦν ἔχων καὶ λογιζόμενος ταῦτα. μακάριος ὁ ἄνθρωπος ὁ μὴ ἀγαπῶν τὴν πλάνην τοῦ κόσμου τούτου, ἀλλ' ἀγαπῶν τὸν θεὸν καὶ ποιῶν

---

129 τῶν χειρῶν om. LXX 131 ὑδρότητι codd. ἱδρῶτι LXX 132 φάγῃ LXX 133 ἀποστρέψαι σε LXX 134 ἐλείφθης codd. ἐλήμφθης LXX 136 τὸν στεναγμόν LXX 137 τὰ om. LXX σου om. LXX 144-45 τοῦ κόσμου τούτου ) τοῦτον κόσμον Mb
*128-134 Ge. 3, 17-19 135-139 ibid., 16*

τὰ θελήματα αὐτοῦ, καὶ ἔχει καθ' ἣν ὥραν τὸν θάνατον πρὸ ὀφθαλμῶν αὐτοῦ· ὅτι οὗτος οὐδέποτε ἁμαρτήσει. καὶ εἴ τι ἔδωκας τοῦ πτωχοῦ, ἐκεῖ τὸ θέλεις γνωρίσειν εἰς τὰς παλάμας τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. τὸ λοιπὸν ἀδελφοί μου καὶ τέκνα· βλέπετε μὴ ὑστερηθῶμεν τῆς αἰωνίου ζωῆς διὰ τὸν πεπλανημένον τοῦτον κόσμον· ὅτι πολλοὺς ἐγέλασε καὶ ἔπαιξε. ὅσοι τὸν ἠγάπησαν, ὅλους ἐγέλασεν, ὅλους ἐπλάνησε καὶ ἀπώλεσε· καὶ ὅσοι τὸν ἐγνώρισαν, ὅλοι τὸν κατεφρόνησαν, ὅλοι ἐσώθησαν ψυχῇ καὶ σώματι. διότι ὅλος ὑπάρχει λύπη καὶ ὀδύνη καὶ στεναγμός· καὶ μακάριοι καὶ τρισμακάριοι οἱ μισήσαντες αὐτὸν καὶ τῷ Χριστῷ ἀκολουθήσαντες. αὐτῷ ἡ δόξα εἰς ἀπεράντους αἰῶνας. ἀμήν.

---

149 γνωρίση Mb 153 ἔμπαιξε Mb ἔπεξε V
155 ἐκατεφρόνησαν Mb

Sermo XIII (Devreesse/Mioni 12.) Mb ff. 18v-21v, V ff. 198r-202r.

τοῦ αὐτοῦ

Ἀδελφοὶ καὶ πατέρες καὶ τέκνα ἠγαπημένα, παρακαλῶ ὑμᾶς ἵνα μου μικρὸν ἀκροασθῆτε τοῦ ταπεινοῦ καὶ ἁμαρτωλοῦ γέροντος, ἐπειδὴ βούλομαι εἰπεῖν λόγον τίποτε ὀλίγον καὶ μικρὰν διδασκαλίαν ψυχωφελῆ· καὶ μὴ ὀκνήσητε, μηδὲ ῥαθυμήσητε παρακαλῶ. βούλομαι δὲ ἐνθυμῆσαι ὑμᾶς περὶ τοῦ θανάτου καὶ τῆς ὥρας ἐκείνης τῆς φοβερᾶς τοῦ χωρισμοῦ τῆς ψυχῆς ἀπὸ τοῦ σώματος. ὅταν οὖν πονεῖ ὁ ἄνθρωπος τοὺς ὀδόντας αὐτοῦ, οὐχ ὑπομένει, ἀλλ' ὀλιγωρεῖ καὶ ταράττεται οὐχ ὑπομένων τὴν ὀδύνην καὶ τὸν πόνον ἐκεῖνον τοῦ ὀδόντος. λοιπὸν δὲ τὴν ὥραν ἐκείνην τὴν φοβεράν, ὅταν χωρίζεται ἡ ψυχή, τίς δύναται ὑποφέρειν; ὅταν οὖν ἔλθωσιν οἱ πόνοι καὶ περικυκλώσουσιν τὸ σῶμα, εἰς τὴν κοιλίαν, εἰς τὴν καρδίαν, εἰς τοὺς νεφρούς, εἰς τὰς χεῖρας, εἰς τοὺς πόδας, εἰς τὴν κεφαλήν, εἰς τοὺς ὀδόντας καὶ ἁπλῶς εἰπεῖν εἰς πᾶν μέλος τοῦ ἐλεεινοῦ ἀνθρώπου, καὶ οὐ μόνον ἔχει τοὺς φοβεροὺς πόνους ἐκείνους καὶ τὰς ὀδύνας, ἀλλ' ἔρχονται καὶ οἱ νυκτοφόροι καὶ δυσειδεῖς δαίμονες καὶ ἐκφοβοῦσιν τὸν ἐλεεινὸν ἄνθρωπον τρίζοντες κατ' αὐτοῦ τοὺς ὀδόντας αὐτῶν· τότε τρέμει καὶ βούλεται φυγεῖν καὶ οὐ δύναται· καὶ λοιπὸν σπαράσσει καὶ ταράττεται, βούλεται κρυβῆναι καὶ οὐκ ἰσχύει. ὢ μυστήριον φοβερὸν

---

23 βούλονται Mb

καὶ φρικτὸν νόημα. τίς νοῦν ἔχων οὐκ ἐκπλαγείη, καὶ φρίξει καὶ ἐκ βάθους καρδίας οὐ στενάξει. ὦ ἐλεεινὲ ἄνθρωπε, πῶς ἀμεριμνεῖς; πῶς οὐ φροντίζεις τῆς ὥρας ἐκείνης; ἀφ' ὅτου δὲ ἔλθουν οἱ ἅγιοι ἄγγελοι χωρίσαι τὴν ψυχὴν ἐκ τοῦ σώματος, τότε παρακαλεῖ αὐτοὺς καὶ λέγει· ἄφετέ με, παρακαλῶ, ὀλίγον καιρόν, ἵνα μετανοήσω. οἱ δὲ ἅγιοι λέγουσιν αὐτῷ· ὁ καιρός σου πεπλήρωται καὶ πλέον καιρὸν οὐκ ἔχεις. ὅταν εἶχες καιρὸν οὐ μετενόεις, καὶ τώρα βούλεσαι μετανοῆσαι; εἰς μάτην ἐκοπίασες. ὕπαγε λοιπὸν εἰς τὸν κριτὴν ἵνα δώσῃς ἀπολογίαν περὶ ὧν ἔπραξας. τότε λαμβάνουσιν αὐτὴν καὶ μὴ θέλουσαν, καὶ ἀπάγουσιν αὐτὴν ἐν τῷ οὐρανῷ, καὶ πορευομένων αὐτῶν συναντῶσιν αὐτῇ τὰ τελώνια τοῦ ἀέρος φέροντες τὰ χειρόγραφα τῶν ἁμαρτιῶν αὐτῆς. τότε ἀδελφοί μου, τίς διηγήσεται τὴν ἀνάγκην ἐκείνην καὶ τὸν φόβον καὶ τὸν τρόμον, ὃν ἔχει ἡ ταπεινὴ ψυχή; τρέχοντες οἱ πονηροὶ δαίμονες ἁρπάσαι αὐτὴν ἀπὸ τὰς χεῖρας τῶν ἁγίων ἀγγέλων· ἐκείνη δὲ στρέφεται πρὸς τοὺς ἁγίους ἀγγέλους, βούλεται κρυβῆναι ἐν τοῖς κόλποις αὐτῶν· ὥσπερ τὸ νήπιον, ὅταν ἴδῃ τίποτε φοβητρόν, τρέχει εἰς τὸν κόλπον τῆς μητρὸς αὐτοῦ καὶ κρύβεται, οὕτως καὶ ἡ ψυχὴ ἐν τοῖς κόλποις τῶν ἁγίων ἀγγέλων· οἱ δὲ ἄγγελοι ἀντισταθμίζουσι τὰ ἔργα τὰ ἀγαθὰ εἰ ἔχει ἡ ψυχή, καὶ λυτρώνεται λοιπὸν τοῦ τελωνίου ἐκείνου. ἀναβαινόντων δὲ τῶν ἀγγέλων εἰς οὐρανόν, ἰδοὺ συναντᾷ αὐτῇ καὶ ἕτερον τελώνιον τὰ ὅμοια αὐτὰ καὶ αὐτὸ ποιήσας· καὶ πάλιν ἄλλο συναντᾷ αὐτῇ ὑπεράνω τοῦ δευτέρου· ὁμοίως καὶ

---

26 ἐνόημα Mb 34 μετενόες Mb

*39 seqq.* publicani, *cf. e.g. Migne P. G. 77, 1072-1089 (Sancti Cyrilli Alexandrini homilia XIV), passim.*

τρίτον καὶ τέταρτον ἕως πληρωθῶσιν τὰ τάγματα τελωνίων λβ'. τὸ μὲν ἐστι τοῦ ψεύδους, ἄλλο τοῦ φθόνου, ἕτερον τῆς φιλαργυρίας, ἄλλο τῆς καταλαλιᾶς, ἄλλο τῆς μέθης, καὶ καθεξῆς πάσης ἁμαρτίας ἴδιον τελώνιον· τὸ δὲ ὕστερον καὶ τελευταῖον ὑπάρχει τῆς πορνείας τὸ τελώνιον ἐν τῇ πύλῃ τοῦ οὐρανοῦ ἱστάμενον. καὶ λοιπὸν ἀδελφοί· τίς εὑρεθήσεται φρόνιμος ἐν τῇ ὥρᾳ ἐκείνῃ, καὶ τίς ἄξιος λυθρωθῆναι τῶν χειρῶν τῶν πονηρῶν δαιμόνων; καὶ ἐὰν εὑρεθῇ ὁ ἄνθρωπος ἐν καθαρᾷ ἐξομολογήσει, ἀπέρχεται ἀκωλύτως τὴν ὁδὸν ἐκείνην καὶ ἀπέρχεται εἰς τὴν ἀνάπαυσιν τῶν δικαίων. εἰ δὲ ἀδιόρθωτος καὶ ἀμετανόητος καὶ ἀνεξομολόγητος εὑρεθῇ, οὐαὶ τῇ ψυχῇ αὐτοῦ. παραλαμβάνουσιν αὐτὴν οἱ δαίμονες τύπτοντες αὐτὴν ἀνηλεῶς καὶ ἀπάγουσιν αὐτὴν εἰς τὰ καταχθόνια ὑποκάτω τῆς γῆς εἰς τόπον σκοτεινὸν καὶ ζοφερὸν ὅπου οὐκ ἔστι φῶς οὐδὲ ἄνεσις, ἀλλὰ κλαυθμὸς καὶ βρυγμὸς τῶν ὀδόντων καὶ τάρταρος. ἡ δὲ ψυχὴ ἡ καθαρὰ πορεύεται μετὰ τῶν ἁγίων ἀγγέλων ἐν τῷ οὐρανῷ καὶ τὰ τελώνια οὐκ ἔχουσι παρρησίαν πλησιάσαι αὐτῇ, ἀλλὰ σκυθρωπάζουσι καὶ κατηφιῶσι. ἐκείνη δὲ ἡ ψυχὴ χαίρουσα ἀπῄει μετὰ τῶν ἁγίων ἀγγέλων ἐν οὐρανοῖς καὶ ἀναπαύεται εἰς τὰς αἰωνίους μονάς, ἔνθα ἐστὶ χαρὰ καὶ ἀγαλλίασις, εὐφροσύνη, τέρψις, θυμηδία, ἀναψυχή, ζωή, ἀθανασία, φῶς ἀνέσπερον καὶ ἄδυτον. ἐκεῖ ὁ χορὸς τῶν ἀποστόλων· ἐκεῖ ἡ ὁμήγυρις τῶν μαρτύρων· ἐκεῖ τῶν ὁσίων ὁ δῆμος· ἐκεῖ τὸ σμῆνος τῶν ἱεράρχων· ἐκεῖ τῶν δικαίων ἡ οἴκησις. καὶ τί πολλὰ

---

71 καὶ om. Mb

*57-60 cf. P.G. l.c. 1073D-1076A*

*65-74 cf. ibid. 1076B-D*

ἔχω λέγειν; ἐκεῖ ἡ καλλονὴ τῆς τρισηλικίου θεότητος, καὶ μακάριος ὁ καταξιωθεὶς γενέσθαι θεωρὸς τῆς μακαρίας καὶ ἁγίας Τριάδος καὶ συγκοινωνὸς καὶ συμμέτοχος τοῦ χοροῦ τῶν ἁγίων. καὶ οὐαὶ τῷ ἀστοχήσαντι τῆς δόξης καὶ τῆς χαρᾶς ἐκείνης˙ ὅτι ὡς οὐδὲ ἡ δόξα καὶ ἡ χαρὰ τῶν ἁγίων ἔχει τέλος οὐδὲ τῶν ἁμαρτωλῶν ἡ κόλασις ἔχει τέλος. καὶ λέγω ὑμῖν, τέκνα˙ ἐὰν κατὰ χιλίους χρόνους ἵνα ἔπαιρνέν τινας ἀπὸ τὴν ἄμμον ἕνα κοκκίν, ἔχειν ἤθελεν ἐλπίδα ἵνα τελειώσῃ ἡ ἄμμος˙ ἐπεὶ ὅταν σηκώσῃς ἕνα κόκκον ἀπὸ τὴν ἄμμον, φαίνεται ὅτι ὀλιγώτερός ἐστιν ἕνα κόκκον, καὶ ἐνδέχεται εἰς δύο χιλιάδας χρόνους ἵνα λείπῃ ἐκ τὴν ἄμμον δύο κόκκους˙ καὶ λοιπὸν ἔχει τέλους ἐλπίδα. οἱ δὲ ἁμαρτωλοὶ ἐλπίδα τέλους τῆς κολάσεως αὐτῶν οὐκ ἔχουσιν˙ ὥσπερ καὶ τῶν δικαίων ἡ χαρά, ὡς προεῖπον, τέλος οὐκ ἔχει. τὸ λοιπόν, τέκνα μου ἠγαπημένα, παρακαλῶ ὑμᾶς ἵνα βλέπετε καὶ μελετᾶτε τὸ τέλος ὑμῶν˙ καὶ μὴ φαντάζει ὑμᾶς ὁ πλάνος οὗτος καὶ ἀπατεὼν κόσμος, ὅτι πολλοὺς ἐγέλασεν καὶ ἐνέπαιξεν. οἴδατε τοὺς πρὸ ἡμῶν τί ἐπῆραν ἀπὸ τὸν πρόσκαιρον τοῦτον κόσμον˙ τί ἐκέρδησαν ἀπὸ τὰ μάταια καὶ ἄστατα βιωτικά. οὐαὶ τῇ ἡμέρᾳ ἐκείνῃ, ᾗ ἐγεννήθης ἄνθρωπε˙ πῶς ἐτυφλώθης, ἐλεεινέ, καὶ τὸν νοῦν σου ἀπώλεσας. τί βούλεσαι, δυστυχῆ καὶ ταλαίπωρε; βούλεσαι ἀθάνατος εἶναι; καὶ τίς λοιπὸν ἐγεννήθη καὶ οὐκ ἀπέθανεν; τίς ἐκέρδησεν τὸν ἀπολειμμένον καὶ φθαρτὸν τουτονὶ κόσμον; οὐδεὶς. ἀλλ᾽ὅσοι τὸν ἠγάπησαν ὅλους ἐγέλασεν, ὅλους ἐλώλαλεν, ὅλους ἐτύφλωσεν. οἱ

---

98 λείποι Mb  107 ἐπεῖραν Mb  ἀπῆραν V in marg. ἔλαβαν add. V

δὲ ἐκεῖνοι, οἱ μακάριοι καὶ τρισμακάριοι οἱ γνωρίσαντες αὐτὸν καὶ φυγόντες, ἐκέρδησαν τὸν αἰώνιον καὶ ἄφθαρτον κόσμον, καὶ χαίρονται τὴν ζωὴν τὴν ἀθάνατον καὶ τὴν τρυφὴν τὴν αἰώνιον καὶ ἀνεκλάλητον. ἐκεῖ οὐκ ἔστι σκότος, οὔτε νύκτα, οὔτε γῆρας, οὔτε πτωχεία, οὔτε κόπος, οὔτε στενοχωρία, οὔτε φόβος, οὔτε θάνατος, οὔτε θλῖψις, οὐ πεῖνα, οὐ δίψα, οὐ γυμνότης, οὐ κλαυθμός, οὐ δάκρυα, οὐ πένθος, οὔτε τι λυπηρὸν τοῦ αἰῶνος τούτου˙ ἀλλ᾽ ἐκεῖ, ὡς προεῖπον, ζωὴ αἰώνιος. τὸ λοιπὸν ἀδελφοί˙ σπουδάσατε ἕως καιρὸν ἔχομεν, ἵνα τύχοιμεν τῶν αἰωνίων ἀγαθῶν, πρὶν τὸ τέλος φθάσῃ, πρὶν κλεισθῶσιν αἱ θύραι, πρὶν ὁ κλέπτης θάνατος ἔλθῃ˙ δράμετε ἵνα κερδήσετε τὴν βασιλείαν τῶν οὐρανῶν. παύσατε ἀπὸ κακοῦ καὶ ποιήσατε ἀγαθόν˙ ὁ κλέπτης παυσάτω τὴν κλεψίαν˙ ὁ πόρνος παυσάτω τὴν πορνείαν˙ ὁ πλεονέκτης παυσάτω τὴν πλεονεξίαν˙ ὁ κατάλαλος τὴν καταλαλιάν˙ ὁ ἀδικῶν τὴν ἀδικίαν. ὁ κρίνων μὴ κρινέτω˙ ὁ μεθύων μὴ μεθυέτω˙ καὶ ὁ μνησικακῶν μὴ μνησικακῇ, ἀλλ᾽ ἀγαπᾶτε ἀλλήλους˙ ὅτι ἡ ἀγάπη ὅλον τὸν νόμον πληροῖ καὶ κορωνίς ἐστι πάντων τῶν ἀρετῶν· καὶ ὥσπερ ἡ μνησικακία ῥίζα καὶ ἡ ἀρχὴ καὶ τέλος ὑπάρχει πάντων τῶν κακῶν. φύγετε τὴν θεοκατάρατον βλασφημίαν, ἀδελφοί μου παρακαλῶ˙ μήποτε ὀργισθῇ ἡμᾶς ὁ Κύριος καὶ πέμψῃ εἰς ἡμᾶς τὴν ὀργὴν αὐτοῦ. ἐπιστρέψατε ἐπὶ τὸν Θεὸν καὶ μετανοήσατε ἐξ ὅλης καρδίας καὶ ἐξομολογησάτω ἕκαστος τὰς ἑαυτοῦ ἁμαρτίας, καὶ μὴ ἐξομολογεῖσθε τὰ μικρὰ καὶ εὐτελῆ, τὰ δὲ

---

127 τύχοιμεν codd. an vol. τύχωμεν ? 137 πληροῖ ) πληρεῖ codd. κορωνίς ) κορώνης Mb

*(130-131 cf. Ps. 33, 15)*

βαρέα καὶ δυσβάστακτα κρύβετε ἐν τῇ καρδίᾳ ἡμῶν· μὴ παρακαλῶ, ἀλλ' ὥσπερ αὐτὰ βλέπει ὁ Κύριος ἀπὸ ἄνωθεν καὶ οὐ λανθάνεται, οὕτως ἐξομολογεῖσθε ἀληθινὰ καὶ μετὰ φόβου Θεοῦ· καὶ μὴ κρύβητε ἐν τῇ καρδίᾳ ὑμῶν μικρὸν ἢ μέγα ἁμάρτημα παρακαλῶ, ἐπεὶ κἀγὼ ἁμαρτωλότερός εἰμι πάντων τῶν ἁμαρτωλῶν. καὶ γὰρ ὁ Θεὸς οὐκ ἦλθε καλέσαι δικαίους ἀλλὰ ἁμαρτωλοὺς εἰς μετάνοιαν· οὐ δὲ χρείαν ἔχουσιν (οἱ) ὑγιαίνοντες ἰατροῦ ἀλλὰ οἱ κακῶς ἔχοντες. καὶ ὅτι μεγάλη χαρὰ γίνεται ἐν τῷ οὐρανῷ, ὅταν μετανοήσῃ τινὰς τῶν ἁμαρτωλῶν. καὶ γὰρ οἱ ἅγιοι ἄγγελοι σκιρτῶσιν καὶ ἀγάλλονται ἐπὶ τῇ τοῦ ἀνθρώπου μετανοίᾳ καὶ ἐπιστροφῇ· ὁμοίως καὶ οἱ χοροὶ καὶ τὰ τάγματα τῶν ἁγίων μαρτύρων καὶ προφητῶν καὶ ἀποστόλων συγχαίρουσιν καὶ συναγάλλονται. τὸ λοιπὸν ἀδελφοί· μὴ ἀπολέσωμεν τὸν καιρὸν καὶ τὰς ἡμέρας ἡμῶν ἐν ἀμελείᾳ, ἀλλὰ σπουδάσωμεν, παρακαλῶ, εἰς πᾶν ἔργον ἀγαθὸν ἐξαιρέτως εἰς τὴν ἐλεημοσύνην· καὶ τὴν ἁγίαν τοῦ Θεοῦ ἐκκλησίαν μὴ ἀμελεῖτε, ἀλλὰ σπουδαίως εἰσέρχεσθε· καὶ μὴ ὀκνεῖτε μηδὲ ῥαθυμεῖτε. τηρεῖτε καὶ προσέχετε τὰς σχόλας τῶν ἁγίων ἐξαιρέτως τὴν ἁγίαν Κυριακήν, ἵνα τύχοιτε τῶν αἰωνίων ἀγαθῶν ἐν Χριστῷ Ἰησοῦ τῷ Κυρίῳ ἡμῶν, ᾧ ἡ δόξα καὶ τὸ κράτος σὺν τῷ ἀνάρχῳ αὐτοῦ πατρὶ καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ αὐτοῦ πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. ἀμήν.

---

170 τύχοιτε codd. an vol. τύχητε ? 173 αὐτοῦ) σου Mb 174 τῶν αἰώνων. ἀμήν. om. Mb

*153-157 Luc 5, 31-32*
*(157-158 Luc 15, 7)*

Sermo XIV (Devreesse/Mioni 13.). Mb ff. 21v-23v, V ff. 202r-205r.

τοῦ αὐτοῦ

Ἰδού, ἀδελφοί μου καὶ πατέρες μου, εἰς τὰ τέλη τῶν αἰώνων κατηντήσαμεν. ἰδοὺ τὰ σημεῖα τῶν καιρῶν, καθὼς ὁ Κύριος εἴρηκεν, πεφανέρωται· ἐγερθήσεται γάρ φησιν ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν, καὶ ἔσονται λιμοὶ καὶ σεισμοὶ κατὰ τόπους. παραδώσει δὲ ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνα, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. καὶ τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν καὶ πολλοὶ ψευδοπροφῆται ἐγερθήσονται καὶ πλανήσουσιν πολλούς· καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἁμαρτίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. καὶ πάλιν· ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως τὸ ῥεθὲν διὰ Δανιὴλ τοῦ προφήτου ἑστὸς ἐν τόπῳ ἁγίῳ· τότε οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν εἰς τὰ ὄρη καὶ ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ, καὶ ὁ ἐν τῷ ἀγρῷ μὴ ἐπιστρεψάτω ἆραι

---

1 Ἀδοὺ V 1-2 τε$^{λ}$ Mb τέλει V 3 πεφανέροται Mb πεφανέρονται V 10 τέκνον NT 18 ἁμαρτίαν) ἀνομίαν NT 25 καὶ om. NT 28 ἐπιστρεψάτω ὀπίσω NT
*4-7 Mat 24, 7-8. 8-12 Mat 10, 21. 12-19 Mat 24, 10-12. 20-32 Mat 24, 15-19.*

τὰ ἱμάτια αὐτοῦ. οὐαὶ δὲ καὶ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις. καὶ πάλιν· ἔσται γὰρ θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται. καὶ εἰ βούλεσθε, ἀδελφοί μου, ἐξετάσωμεν ἕνα ἕκαστον τῶν ἁγίων ἐκείνων λόγων τοῦ Κυρίου ἡμῶν. εἶπε γάρ· ἐγερθήσεται ἔθνος ἐπὶ ἔθνος καὶ βασιλεία ἐπὶ βασιλείαν· καὶ τοῦτο νῦν γέγονεν. οὐκ ἐγέρθη ὁ ἄθεος βασιλεὺς τῶν Ἰσμαηλιτῶν κατὰ τῆς ἁγίας βασιλείας τῶν Χριστιανῶν παραχωρήσει θεοῦ, καὶ ἀνάλωσεν αὐτὴν καὶ κατὰ κράτος τὴν Πόλιν ἡμῶν ἔλαβεν; εἶτα λέγει· καὶ ἔσονται λιμοὶ καὶ λοιμοί. ἄρα καὶ τοῦτο οὐ γέγονεν εἰς ἡμᾶς τοὺς ἐλεεινούς; ἄρα κατὰ τὸν πεπερασμένον καιρὸν αἱ ψυχαὶ τῶν ἀνθρώπων ἐκλείπουν ἀπὸ τῆς πείνης καὶ τοῦ λιμοῦ, καὶ πολλοὶ τῶν ἀνθρώπων ἀγνώριστοι γεγόνασιν ἀπὸ τῆς πολλῆς κακοπαθείας; καὶ πάλιν λέγω· λοιμοὶ καὶ σεισμοὶ κατὰ τόπους. λοιμὸν ἐνταῦθα λέγει τὴν λοίμην τοῦ θανατικοῦ καὶ τὴν μεγάλην φθοράν, ἣν σήμερον βλέπομεν εἰς ἡμᾶς γινομένην. εἶτα λέγει· παραδώσει ἀδελφὸς ἀδελφὸν εἰς θάνατον καὶ πατὴρ τέκνον, καὶ ἐπαναστήσονται τέκνα ἐπὶ γονεῖς καὶ θανατώσουσιν αὐτούς. καὶ αὐτὸ σήμερον γίνεται· παίουσι γὰρ τὰ τέκνα

---

29 καὶ om. NT 33 γὰρ τότε NT 35-36 ἕως τοῦ νῦν... καὶ εἰ om. V 36 βούλεσθε ) ἔλεσθαι V ἐξετάσομεν codd. 42 αὐτὴν ) αὐτὸν codd. 45 πεπειρασμένον MbV 46 ἐκλείπων codd.

*32-36 Mat 24, 21*

τοὺς γονεῖς αὐτῶν καὶ θανατώνουσιν αὐτούς. εἰ δὲ καὶ οὐ θανατώνουσιν αὐτοὺς σωματικῶς, ἀλλὰ θανατώνουσιν ψυχικῶς. εἶτα λέγει· τότε σκανδαλισθήσονται πολλοὶ καὶ ἀλλήλους παραδώσουσιν. ἰδοὺ καὶ τοῦτο γέγονεν ἐν τοῖς καιροῖς τούτοις. οὐχὶ ἐσκανδαλίσθησαν οἱ κακοὶ καὶ πονηροὶ ἐκεῖνοι ἄνθρωποι κατὰ τῆς τιμιωτάτης καὶ κραταιᾶς ἡμῶν ἐξουσίας καὶ αὐτοὺς ἐκείνους εἰς θάνατον παρέδωκαν; ἀλλὰ καὶ ἄλλοι ἀναίτιοι δι' ἐκείνους ἐτιμωρήθησαν καὶ εἰ μὴ Κύριος ἐβοήθησεν, πόσον ἂν κακὸν ἔμελλε γενέσθαι εἰς ἡμᾶς; ἀλλ' ἐπέστρεψεν ἡ κακία αὐτῶν ἐπὶ τὰς ἑαυτῶν κεφαλὰς κατὰ τὸν προφήτην Δαυίδ. καὶ πάλιν λεγει· διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν. λοιπὸν διὰ τὴν ἐκείνων κακίαν ἐψύγην ἡ ἀγάπη, ἣν εἶχεν ἡ τιμιώτατος αὐθεντία ἡμῶν εἰς ἡμᾶς,καὶ ἡ ἀγάπη ἐγένετο μῖσος καὶ ἀπιστία. εἶτα λέγει· ὅταν οὖν ἴδητε τὸ βδέλυγμα τῆς ἐρημώσεως, πλὴν τοῦ ἀθεωτάτου Ἀγαρηνοῦ ταλασουμανίζοντος, οἴμοι, ἐν τῷ ἁγίῳ ἐκείνῳ ναῷ τῆς ποτὲ Ἁγίας Σοφίας Θεοῦ. λέγω δέ· καὶ οἱ ἐν τῇ Ἰουδαίᾳ φευγέτωσαν ἐπὶ τὰ ὄρη. καὶ αὐτὸ γέγονεν· οἱ ἐν τῇ Πόλει φυγάδες γεγόνασιν εἰς ἀλλοτρίους τόπους. καὶ πάλιν· ὁ ἐπὶ τοῦ δώματος μὴ καταβάτω ἆραί τι ἐκ τῆς οἰκίας αὐτοῦ. καὶ τίς τῶν δυστυχῶν ἐκείνων πολιτῶν κατὰ τὴν φοβερὰν ὥραν ἐκείνην τοῦ πολέμου ἐφρόντιζε περὶ τῆς οἰκίας αὐτοῦ ἢ τῶν πραγμάτων; εἶτα ἐπιφέρει· οὐαὶ δὲ ταῖς ἐν γαστρὶ ἐχούσαις καὶ ταῖς θηλαζούσαις ἐν ἐκείναις ταῖς ἡμέραις.

---

67 ταῖς Mb

*(67-68 cf. Ps. 7, 17)*

καὶ τοῦτο ἐγένετο κατὰ τὸν καιρὸν ἐκείνου τοῦ δεινοῦ πολέμου. οὐχὶ ἐκ τῆς βοῆς καὶ σεισμοῦ τῆς ταραχῆς τῆς δαιμονικῆς ἐκείνης πουπάρδης αἱ ἐν γαστρὶ ἐχούσαις τὰ νήπια ἐν ταῖς κοιλίαις ἐξέλιπον; εἶτα λέγει· ἔσται γὰρ θλῖψις μεγάλη, οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου ἕως τοῦ νῦν οὐδ' οὐ μὴ γένηται. καὶ ποία μεγαλωτέρα ἄλλη θλῖψις γέγονεν εἰς τοὺς πιστοὺς ὥσπερ γέγονεν ἐν τῇ ἀναλώσει τῆς ἐλεεινῆς καὶ δυστυχοῦς Πόλεως; καὶ διὰ τοῦτο λέγω· οἵα οὐ γέγονεν ἀπ' ἀρχῆς κόσμου. ἔπειτα πάλιν εἶπε· ὅταν οὖν ἴδητε ταῦτα γινόμενα, γινώσκετε ὅτι ἐγγύς ἐστιν ἐπὶ θύραις. ἀκούσωμεν οὖν, ἀδελφοί, καὶ τοῦ μεγάλου φωστῆρος τῆς οἰκουμένης Παύλου πρὸς τὸν αὐτοῦ μαθητὴν Τιμόθεον λέγοντος· τέκνον Τιμόθεε, τοῦτο γίνωσκε, ὅτι ἐν ταῖς ἐσχάταις ἡμέραις ἐνστήσονται καιροὶ χαλεποί· ἔσονται γὰρ οἱ ἄνθρωποι φίλαυτοι, φιλάργυροι, ἀλαζόνες, ὑπερήφανοι, βλάσφημοι, γονεῦσιν ἀπειθεῖς, ἀχάριστοι, ἀνόσιοι, ἄστοργοι, ἄσπονδοι, ἀκρατεῖς, ἀνήμεροι, ἀφιλάγαθοι, προδόται, προπετεῖς, τετυφωμένοι (τὸν νοῦν), διάβολοι, ἄνθρωποι κατεφθαρμένοι τὸν νοῦν, ἀδόκιμοι περὶ τὴν πίστιν.

---

112-113 τετυφλομένοι τὸν νοῦν Mb

*97-99 Mat 24, 33*

*101-115 2 Ti 3, 1-5, 8*

βλέπετε ταῦτα, ἀδελφοί, ὅτι οὐδὲν ἓν ἀπ' αὐτῶν ἔμεινεν ἀργόν, ἀλλὰ ὅλα πολιτεύονται σήμερον καὶ πλεῖονα τούτων. ἀκούσωμεν καὶ τοῦ ἀββᾶ Παμβώ, τί καὶ αὐτὸς λέγει περὶ τῶν καιρῶν τούτων τῶν ἐσχάτων τῷ ἑαυτῷ μαθητῇ· τέκνον, ἐλεύσονται ἡμέραι, ὅτε φθείρουσιν οἱ Χριστιανοὶ τὰς βιβλίους τῶν ἁγίων εὐαγγελίων καὶ ἀποστόλων λεαίνοντες τὰς ἁγίας γραφὰς καὶ γράφουσιν ᾄσματα καὶ Ἑλληνικοὺς λόγους κατὰ τὰ θελήματα αὐτῶν. καὶ εἶπεν ὁ ἀδελφός· τί οὖν, ἀλλαχθήσονται τὰ ἔθνη καὶ αἱ παραδώσεις τῶν ἁγίων, καὶ οὐκ ἔσονται ἱερεῖς ἐν τῇ ἐκκλησίᾳ ἵνα ταῦτα γένηται; καὶ εἶπεν ὁ γέρων· ἐν τοῖς τοιούτοις καιροῖς, τέκνον, ψυγήσεται ἡ ἀγάπη τῶν πολλῶν καὶ ἔσται θλῖψις οὐκ ὀλίγη, ἐθνῶν ἐπιδρομαί, λαῶν κινήσεις, βασιλέων ἀκαταστασία, ἀρχόντων ἀταξία, ἱερέων σπατάλη, μοναζόντων ἀμέλεια, ἡγούμενοι καταφρονοῦντες τῆς ἑαυτῶν σωτηρίας, τοῦ ἑαυτῶν ποιμνίου· πρόθυμοι πάντες καὶ σπουδαῖοι εἰς τὰς τραπέζας καὶ μαχιμάριοι, ὀκνηροὶ εἰς τὰς εὐχὰς καὶ ἕτοιμοι εἰς τὰς καταλαλιάς, πρόχειροι τοῦ κρίνειν, βίους γερόντων μήτε ἀκούοντες μήτε ἀναγινώσκοντες μήτε μιμούμενοι, ἀλλὰ μᾶλλον λοιδοροῦντες λέγουσιν ὅτι· εἰ ἦμεν ἐν ταῖς ἡμέραις αὐτῶν, ἠγωνιζόμεθα καὶ ἡμεῖς· οἱ δὲ ἐπίσκοποι τῶν ἡμερῶν ἐκείνων ἔσονται αἰδούμενοι πρόσωπα δυναστῶν, κρίνοντες τὰς κρίσεις αὐτῶν ἐν δώροις, μὴ ὑπερασπίζοντες πτωχῶν ἐν κρίσει, θλίβοντες χήρας, καταπονοῦντες ὀρφανούς. ἐλεύσεται δὲ εἰς τὸν λαὸν ἀπιστία, μῖσος, ζῆλος, ἔχθρα, κλοπαί,

---

118 τοῦτον Mb 122-123 λαίε$^{ον}$ντες Mb λαιένοντες V *in textu* λεαίνοντες V *in marg.*

κῶμοι, μέθαι, πορνεῖαι, μοιχεῖαι, φόνοι, ἁρπαγαί. καὶ εἶπεν ὁ ἀδελφός· τί οὖν ποιήσει τὶς ἐν τοῖς τοιούτοις χρόνοις φθάσας; καὶ εἶπεν ὁ γέρων· τέκνον, ὁ ἐν τοῖς χρόνοις ἐκείνοις εὑρεθεὶς σῴζει ὁ σῴζων τὴν ἑαυτοῦ ψυχήν. ὁρᾶτε, ἀδελφοί μου, πῶς συγκροτοῦσιν οἱ λόγοι τῶν ἁγίων τοῦ Κυρίου τοῖς λόγοις; τὸ λοιπὸν ὁ χωρῶν χωρείτω καὶ ἐξαγοραζέτω τὸν καιρόν· ὅτι αἱ ἡμέραι πονηραί εἰσιν καὶ ὁ νοῦν ἔχων ταῦτα βλέπεται. καὶ σῴζων σῴζεις ἕκαστος τὴν ἑαυτοῦ ψυχὴν κατὰ τὸν λόγον τοῦ ἁγίου ἐκείνου γέροντος. βλέπετε ἀδελφοί, ὅτι ἐπὶ ἐπάλξεων πόλεων περιπατῶμεν καὶ ἐν μέσῳ παγίδων διαβαίνομεν. οἴμοι, καὶ τίς ὁ σῳζόμενος σήμερον; καὶ τίς διαφύγει τὰς νῦν ἁπλωμένας παγίδας τοῦ Διαβόλου καὶ κύκλα; ὅτι πολλοὶ οἱ πολέμιοι καὶ οἱ στρατιῶται ὀλίγοι καὶ σπάνιοι. οἴμοι, εἰς ποῖον καιρὸν εὑρέθημεν οἱ δυστυχεῖς καὶ ταλαίπωροι καὶ τίς ἡμῖν βοηθήσει; οὐδεὶς εἰμὴ ἡ πολλή σου εὐσπλαγχνία, θεέ μου καὶ Κύριε. ὅτι σοι πρέπει δόξα, τιμὴ καὶ προσκύνησις εἰς ἀπεράντους αἰῶνας. ἀμήν.

---

158 πόλεων ) πολλῶν V  160 ὑπλωμένας codd.
161 πολλαὶ codd.

*153-154 Eph 5, 16*

*INDEX NOMINUM*


Ἀγαρηνός: Ἀγαρηνοῦ *75 (Sermo XIV)*. Moravcsik, Byzantinoturcica II, p. 55

Ἁγία Σοφία: Ἁγίας Σοφίας *76 (Sermo XIV)*

Δανιήλ *22 (Sermo XIV)*

Δαυίδ *81 (Sermo IX), 13 (Sermo XII), 68 (Sermo XIV)*

Ἑβραῖος *15, 45, 48, 56 (Sermo IX)*, Ἑβραῖον *47 (Sermo IX)*, Ἑβραίου *45 (Sermo IX)*, Ἑβραῖοι *21 (Sermo VII)*, Ἑβραίων *17 (Sermo IX)*

Ἑλληνικός: Ἑλληνικούς *124 (Sermo XIV)*

Θεοτόκος *90 (Sermo VIII)* Θεοτόκον *33 (Sermo IX)*, Θεοτόκου *99/100 (Sermo VIII)*

Ἱεράπετρος (nunc Ἱεράπετρα, Γεράπετρο) *87 (Sermo IX)*

Ἰησοῦς (Χριστός) *89 (Sermo VIII), 30 (Sermo IX)*, Ἰησοῦ *73 (Sermo I), 66 (Sermo II), 72 (Sermo VI) etc.*

Ἰουδαία: Ἰουδαίᾳ *24, 77 (Sermo XIV)*

Ἰούδας: Ἰούδα *104 (Sermo X), 11/12 (Sermo XI), 95 (Sermo XII)*

Ἰσμαηλῖται: Ἰσμαηλιτῶν *40 (Sermo XIV)*. Moravcsik, op. cit., p. 142

Ἰωάννης ὁ Δαμασκηνός *30/31 (Sermo X)*

Ἰωάννης ὁ Χρυσόστομος *v.* Χρυσόστομος

Κυριακή: Κυριακήν *14/15 (Sermo IV), 3, 29 etc. (Sermo IX)*, Κυριακῆς *2, 27, 126/7, 129 (Sermo IX) etc.*, Κυριακῇ *tit. (Sermo I) etc.*

Μπέρτος: Μπέρτου *tit. (Sermo I)*

Μουσουλμᾶνος: Μουσουλμάνων *80 (Sermo XI)*. Moravcsik, op. cit., p. 198

Μωϋσῆς: Μωϋσῆ *19, 59 (Sermo IX)*

Ναθαναήλ *tit. (Sermo I)*

Ὄρθρος: Ὄρθρον *13 (Sermo IV)*

Παμβώ *118/9 (Sermo XIV)*. (F. Halkin) BHG (III), 2329, 2329b (pp. 56-57)

Παναγία (ἡ): (τῆς) Παναγίας *73 (Sermo XI)*

Παῦλος: Παύλου *100 (Sermo XIV)*

Πεντηκοστή: Πεντηκοστήν *23 (Sermo XI)*

Πόλις: Πόλιν *42/43*, Πόλεως *95*, Πόλει *78 (Sermo XIV)*

Σάββατον (Sabbata Iudaeorum) *17*, Σαββάτου *18, 22, 24, 53*, Σαββάτῳ *22 (Sermo IX)*

Σατανᾶς: Σατανᾷ *11 (Sermo VIII)*

Σεπτέμβριος *25/26 (Sermo IV)*

Τεσσαρακοστή *16 (Sermo I)*, Τεσσαρακοστήν *35-36, 45 (Sermo IV), 40 (Sermo VI)*, Τεσσαρακοστῆς *5 (Sermo II), 24 (Sermo IV)*

Τιμόθεος: Τιμόθεε *102*, Τιμόθεον *101 (Sermo XIV)*

Χριστιανός *47 (Sermo I), 23 (Sermo VII) etc.*, Χριστιανοῦ *58 (Sermo IX) etc.*, Χριστιανοί *32 (Sermo XII), 121 (Sermo XIV)*, Χριστιανῶν *83 (Sermo XII), 41 (Sermo XIV)*, Χριστιανοῖς *129 (Sermo IX) etc.*

Χριστός *19 (Sermo VII), 90 (Sermo VIII), 30, 123 (Sermo IX) etc.*, Χριστόν *21 (Sermo VII), 13, 15 (Sermo VIII) etc.*, Χριστοῦ *73 (Sermo I), 67 (Sermo II), 23 (Sermo VII) etc.*, Χριστῷ *32 (Sermo II), 72 (Sermo VI) etc.*

Χρυσόστομος (Ἰωάννης ὁ) *9 (Sermo IX)*

## *INDEX GRAECITATIS*

lexica consulted:

| | |
|---|---|
| Andriotis | Ν.Π. Ἀνδριώτης, Ἐτυμολογικὸ Λεξικὸ τῆς κοινῆς νεοελληνικῆς, β' ἔκδοση, Salonica 1967. |
| Lampe | G.H.W. Lampe, A Patristic Greek Lexicon, Oxford 1961-68. |
| ΠΡΩΙΑΣ | "Πρωΐας" λεξικὸν τῆς νέας ἑλληνικῆς γλώσσης, Athens (no date). |

other lexica occasionally referred to:

| | |
|---|---|
| Demetrakos | Δ. Δημητράκος, Μέγα Λεξικὸν ὅλης τῆς ἑλληνικῆς γλώσσης, τόμ. Α'- Θ', Athens 1958. |
| Kriaras | Ἐ. Κριαρᾶς, Λεξικὸ τῆς μεσαιωνικῆς ἑλληνικῆς δημώδους γραμματείας 1100-1669, τόμ. Α' - Β', Salonica 1969 - |
| LSJ | Liddell-Scott-Jones-McKenzie, A Greek English Lexicon, Oxford 1940/61. |
| Sophocles | E.A. Sophocles, Greek Lexicon of the Roman and Byzantine Periods from B.C. 146 to A.D. 1100, I-II, New York 1887. |

*****


ἀβάπτιστος unbaptized: ἀβάπτιστον *27 (Sermo VIII)*. Lampe, p. 1, Kriaras I, p. 2

αἱμομιξία incest: αἱμομιξίαις *(acc.) 62 (Sermo X)*. Lampe, p. 50, Kriaras I, p. 128

ἀκουμβίζω lean, rest: ἀκουμβίζων *8 (Sermo V)*. Kriaras I, pp. 168-70, cf. Andriotis, p. 11, Lampe, p. 64

ἀλλήλως reciprocally. *33 (Sermo XII)*. Kriaras I, pp. 225-6, ΠΡΩΙΑΣ, p. 131

ἀλλοῦ elsewhere. *72 (Sermo IX)*. Kriaras I, p. 232, Andriotis, p. 14

ἄνδρας *(nom.) 61 (Sermo I), 101 (Sermo X)*. cf. Andriotis, p. 25, Kriaras II, pp. 161-2

ἀνεγνώριστος unknown: ἀνεγνώριστον *10 (Sermo XII)*. Kriaras I, p. 49, II, p. 177, ΠΡΩΙΑΣ, p. 230

ἀνεξαγόρευτος unconfessed: ἀνεξαγόρευτα *61 (Sermo I)*. Lampe, p. 134, ΠΡΩΙΑΣ, p. 237

ἀνεξομολόγητος without having confessed. *69 (Sermo XIII)*. Lampe, p. 135, ΠΡΩΙΑΣ, p. 239

ἀνέσπερος never setting, without evening: ἀνέσπερον *47 (Sermo III), 82 (Sermo XIII)*. Lampe, p. 137, Kriaras II, p. 198

ἀντίδωρον blessed bread. *100, 103 (Sermo X)*. Lampe, p. 153, Kriaras II, p. 255, (cf. LSJ, p. 155)

ἀπαρασάλευτος unshaken: ἀπαρασάλευτον *60 (Sermo IX)*. Lampe, p. 176, Kriaras II, p. 321, ΠΡΩΙΑΣ, p. 320

ἀπέμπροσθεν from before. *58 (Sermo XI)*. Lampe, p. 182, Kriaras II, p. 346

ἀποσυνάγω/-ζω assemble: ἀποσυνάγετε *67/68 (Sermo IX)*, ἀποσυνάζεις *70/71 (Sermo IX)*. Lampe, p. 214, Kriaras, Βυζ. ἱππ. μυθιστορήματα, Athens 1955, p. 256

ἀπότε since. *60 (Sermo VII)*. E. Trapp, Digenes Akrites, WBS VIII, p. 386

ἀποχωρισμός separation: ἀποχωρισμόν *11/12 (Sermo XII)*. ΠΡΩΙΑΣ, p. 390

ἀργολογία idle chatter: ἀργολογίαι *32 (Sermo V)*. Lampe, p. 223, ΠΡΩΙΑΣ, p. 404

ἀργολογῶ talk idly. ἀργολογεῖν *19, 61 (Sermo III), 96 (Sermo XII)*. Lampe, p. 223, ΠΡΩΙΑΣ, p. 404

ἀρσενοκοιτία sodomy: ἀρσενοκοιτίαις *(acc.) 62 (Sermo X)*. Lampe, p. 230, ΠΡΩΙΑΣ, p. 424

ἀρχίζω begin: ἀρχίζει *119 (Sermo XII)*. Andriotis, p. 36, ΠΡΩΙΑΣ, p. 432

ἄς (part.) *51 (Sermo VIII)*. Andriotis, p. 37, ΠΡΩΙΑΣ, p. 436

ἀσυνήθιστος unusual: ἀσυνήθιστον *10 (Sermo XII)*. ΠΡΩΙΑΣ, p. 463

ἀφήνω (ἀφίημι) *11 (Sermo XII)*, ἀφήνοντες *13 (Sermo I)*. Andriotis, p. 43

ἀφοῦ since, after. *39 (Sermo VIII)*. Andriotis, p. 43, ΠΡΩΙΑΣ, p. 505

B

βάσανον torture. *53 (Sermo VI)*, βάσανα *95 (Sermo X)*. Lampe, p. 289, Andriotis, p. 48

βιαστός subject to violence: βιαστή *51 (Sermo IV)*, *44 (Sermo VI)*. Lampe, p. 296 (cf. LSJ, p. 315)

βλάβω (βλάπτω): βλάβει *24 (Sermo VIII)*. Andriotis, p. 52

Γ

γέλιο(ν) laughter: γέλια *92 (Sermo VIII)*, *64 (Sermo X)*. Andriotis, p. 60, ΠΡΩΙΑΣ, p. 620

γονῆς (γονεύς) *42 (Sermo VIII)*, *96 (Sermo XI)*. Demetrakos, p. 1676

γονυκλισία genuflexion: γονυκλισίας *28 (Sermo II)*. Lampe, pp. 321-22

γυναῖκα (nom.) *61 (Sermo I)*, *49 (Sermo V)*, *101 (Sermo X)*, *53 (Sermo XI)*. Andriotis, p. 70

Δ

διπλός: διπλόν *76 (Sermo IX)*. Andriotis, p. 82

διορθώνω: διορθώνουσι *21 (Sermo IX)*. Andriotis, p. 82

Ε

εἰμή except, but. *20 (Sermo IV) etc.* ΠΡΩΙΑΣ, p. 841

ἐκ (+acc.) *98 (Sermo XIII)*. cf. R. Browning, Medieval and Modern Greek, London 1969, p. 86

ἐνθυμῶ bring to mind: ἐνθυμῆσαι *2 (Sermo VIII)*, *1 (Sermo XI)*, *6 (Sermo XIII)*. Demetrakos, p. 2557

ἐσοδεία crop, harvest. *25, 26 (Sermo IV)*. Andriotis, p. 107, ΠΡΩΙΑΣ, p. 1048

εὐχέλαιον sacred oil, sacrament of unction: εὐχέλαια *48 (Sermo VII)*, *24 (Sermo X)*. Lampe, p. 580, Andriotis, p. 110

Η

ἠξεύρω know: ἤξευρε (imper.) *21 (Sermo X)*. Andriotis, p. 237

Θ

θανατικόν plague: θανατικὰ *76*, θανατικοῦ (adj.?) *88 (Sermo XI)*, *50 (Sermo XIV)*. Lampe, p. 611, Andriotis, p. 120

θέλει - θέλει 49/50 (Sermo XII)

θεριστά harvest (adj. θεριστός reaped) *68 (Sermo IX)*. Sophocles, p. 580, Demetrakos, p. 3337

I

ἱερομόναχος monk-priest: ἱερομονάχου *tit. (Sermo I)*. Sophocles, p. 594, ΠΡΩΙΑΣ, p. 1184

K

* καλοστόλισθος well-dressed. *63 (Sermo V)*

* κανίζω (i.e. γκανίζω Demetrakos, p. 1624, φωνάζω ἢ γεν. ὁμιλῶ θορυβωδῶς καὶ ὀχληρῶς): κανίζει *114/5 (Sermo IX)*

κλεψία theft: κλεψίαν *73 (Sermo XII)*. Lampe, p. 756, Andriotis, p. 158

κοκκίν (= κόκκος) *95 (Sermo XIII)*. Sophocles, p. 674

κρασίν wine. *70 (Sermo XII)*. Andriotis, p. 172, cf. Lampe, p. 774

κρῖμα (not κρίμα) sin, a pity. *32 (Sermo VIII), 61 (Sermo XI) & al.* ΠΡΩΙΑΣ, p. 1430

κρύβω (κρύπτω): κρύβεται *48*, κρύβετε *146*, κρύβητε *150 (Sermo XIII)*. Andriotis, p. 174 (cf. LSJ, p. 1000)

κρυφά (adv.) *57 (Sermo XII)*. ΠΡΩΙΑΣ, p. 1437, cf. LSJ, p. 1000

κύρ: κυροῦ *tit. (Sermo I)*. Sophocles, p. 699, Andriotis, p. 175

Λ

λωλαίνω send crazy: ἐλώλανεν *115 (Sermo XIII)*. Andriotis, p. 191, ΠΡΩΙΑΣ, p. 1516

M

* μαγίς synagogue ?: μαγίδας *20 (Sermo IX)*

* μαχίζω ?: μεμαχισμένος *36 (Sermo XII)*

* μαχιμάριος ?: μαχιμάριοι *135 (Sermo XIV)*

μέ (prep. + acc.) *48 (Sermo I), 22 (Sermo X) & al.* Andriotis, p. 200, ΠΡΩΙΑΣ, p. 1552-53

μεθυσία intoxication: μεθυσίαις *(acc.) 63 (Sermo X)*

μισόχριστος hating Christ. *64 (Sermo IX)*. Lampe, p. 873

N

νά *36, 40 (Sermo IV), 63 & al. (Sermo XII)*. Andriotis, p. 225, cf. Lampe, p. 896

νίβω (νίπτω): νίβονται *45 (Sermo V)*. Andriotis, p. 228, cf. Lampe, p. 915

* νυκτοφόρος (νυκτιφόρος?): νυκτοφόροι *20 (Sermo XIII)*

O

ὁλοψύχως with one's whole soul. *83, 86/87 (Sermo V)*. Lampe, p. 950, cf. LSJ, p. 1219

ὀρφανοτρόφος bringing up orphans. *87/88 (Sermo IX)*. Lampe, p. 975, cf. LSJ, p. 1258

οὐδέν (negation) *6 (vid.)*, *49 (Sermo IX)*, cf. LSJ, p. 1269

οὐδόλως not at all. *12 (Sermo II)*, *6 (Sermo V)*. Lampe, p. 977, cf. LSJ, p. 1218

Π

παιδοφθορία corruption of boys: παιδοφθορίαις *(acc.)* *63 (Sermo X)*. Lampe, p. 997

παίρνω take: ἔπαιρνεν *94 (Sermo XIII)*. Andriotis, p. 259

παντοιοτρόπως in every kind of way. *83/4, 102 (Sermo XI)*. Lampe, p. 1005, ΠΡΩΙΑΣ, p. 1832

παραμικρόν (adv.) *7 (Sermo V)*. cf. ΠΡΩΙΑΣ, p. 1850

παρήκοος disobedient: παρήκοον *97 (Sermo XI)*. Lampe, p. 1033, ΠΡΩΙΑΣ, p. 1869

(τὰ) πίσω back(wards). *80 (Sermo IX)*. Andriotis, p. 283

πλέον (= πιά) *32 (Sermo IV)*. Andriotis, p. 280

πληρώνω pay (for): πληρώνει *32 (Sermo VI)*. Andriotis, p. 286

ποθαίνω (ἀποθνῄσκω): ἐπόθανεν *27 (Sermo VIII)*. ΠΡΩΙΑΣ, p. 348

πολυχρονῶ wish long life to: πολυχρονεῖ *30 (Sermo VI)*. ΠΡΩΙΑΣ, p. 1992 f. (cf. Lampe, p. 1119)

πουπάρδα bombardment: πουπάρδης *88 (Sermo XIV)*. Andriotis, p. 220, s.v. μπομπάρδα

προθυμῶ be πρόθυμος: προθυμοῦσιν *43 (Sermo VI)*. Demetrakos, p. 6116

πωρικόν fruit. *55 (Sermo XII)*. Andriotis, p. 305, Demetrakos, p. 6301

Σ

σας yours. *68 (Sermo IX)*. Andriotis, p. 319

σηκώνω raise, remove: σηκώσῃς *96 (Sermo XIII)*. Andriotis, p. 322 (cf. LSJ, p. 1592)

σταφυλον: στάφυλα *54 (Sermo XII)*. Andriotis, p. 340

στεφανόω: στεφανοῦται (gets married) *30 (Sermo XII)*. Lampe, p. 1258, ΠΡΩΙΑΣ, p. 2248

συνηθίζω grow accustomed, become used (to): συν-ηθίζει *52/3 (Sermo XI)*. Lampe, p. 1327, Andriotis, p. 352

σφάκα (= σφάκος) *122 (Sermo XII)*. Andriotis, p. 355

σχόλη feast-day: σχόλαις *(acc.) 129/30 (Sermo IX)*, σχόλας *169 (Sermo XIII)*. ΠΡΩΙΑΣ, p. 2337, cf. Andriotis, p. 329

σώνω: ἔσωσεν (= ἔφθασε) *15 (Sermo I), 93 (Sermo IX)*. Andriotis, p. 357, ΠΡΩΙΑΣ, p. 2340

Τ

* ταλασουμανίζω?: ταλασουμανίζοντος *75 (Sermo XIV)*. (*μανίζω, ΠΡΩΙΑΣ, p. 1536)

ταχύ (subst.) morning. *28 (Sermo I), 55 (Sermo XI)*. Andriotis, p. 362, ΠΡΩΙΑΣ, p. 2356

τελειώνω end, finish: τελειώνεται *120, 122 (Sermo XII)*. Andriotis, p. 363

τελώνιον (= δαίμων): τελώνια *39 seqq. (Sermo XIII)*. Lampe, p. 1387, Andriotis, p. 363, ΠΡΩΙΑΣ, p. 2362

τινάς (τις) *59 (Sermo I), 41 (Sermo II), 7 (Sermo V), 23 (Sermo VI) etc.*, τινάν *21 (Sermo VIII)*. Andriotis, p. 369

τίποτε (pron.) *30 (Sermo I), 45, 62 (Sermo IV) etc.* Andriotis, p. 369

το (pers. pron.) *61 (Sermo V), 41 (Sermo VIII) & al.* Andriotis, p. 370

τό (relat. pron.) *58 (Sermo VIII), 3 (Sermo X)*. (cf. S. Krawczynski, Ὁ Πουλολόγος, Berlin 1961, p. 154)

* τρισηλίκιος?: τρισηλικίου *86 (Sermo XIII)*

τώρα now. *35 (Sermo XIII)*. Lampe, p. 1422, Andriotis, p. 389

Υ

* ὑποκλιτός (ὑποκλίνομαι?): ὑποκλιταί *44 (Sermo V)*

Φ

φορεσία dress, costume: φορεσίας *45 (Sermo V)*,

φορεσίαι *94 (Sermo IX).* Lampe, p. 1488, Andriotis, p. 408

φυτρώνω grow: ἐφύτρωσεν *60 (Sermo VII).* Andriotis, p. 416

X

χάνω lose, miss: χάσωμεν *19 (Sermo II), 58 (Sermo VII),* χάσει *21 (Sermo II)* χάνομαι get lost: χάνονται *58 (Sermo XI),* ἐχάθην *29 (Sermo VIII).* Andriotis, p. 421

χαροκοπία pleasure, merriment: χαροκοπίαις *(acc.) 24/25 (Sermo XI).* Demetrakos, p. 7802, cf. Andriotis, p. 422

χρυσάφιν gold. *120 (Sermo XII).* Andriotis, p. 431, cf. LSJ, p. 2009

χύνω shed: ἔχυσαν *47 (Sermo VI),* χύνομεν *52 (Sermo VI).* Andriotis, p. 432, cf. LSJ, p. 2013

Ψ

ψηλάφισμα touch. *35 (Sermo III),* ΠΡΩΙΑΣ, p. 2644, cf. LSJ, p. 2022 (ψηλάφημα)

Ω

ὠνικόν buying, purchasing: ὠνικά *72 (Sermo IX).* Lampe, p. 1556

*Corrigenda.*

p. 6, 21 Bertos's

*Sermo I, apparatus* 73 πᾶσα om. MbV

*Sermo VI, 23* δὲ

*55* εἰς

*Sermo XIV, 21/22* ῥηθὲν

Nathanaelis Berti Monachi sermones quattuordecim
ed.B.Schartau

Sermo I.....................17
II.....................2o
III.....................23
IV.....................26
V.....................29
VI.....................33
VII.....................36
VIII.....................39
IX.....................44
X.....................49
XI.....................54
XII.....................58
XIII.....................64
XIV.....................7o
Index nominum..................76
Index graecitatis..............78